Εἰ δὲ εἰς ης τὸ θετικὸν, διὰ τοῦ εος τυγχάνει κλινόμενον, ἀπὸ τοῦ ες οὐδετέρου τὸ συγκριτικὸν καὶ ὑπερθετικὸν γίνεται, μεταβολῇ καὶ προσλήψει ὡς εἴρηται. εὐγενὴς, εὐγενὲς, εὐγενέστερος, εὐγενέστατος. ἀληθὴς, ἀληθὲς, ἀληθέστερος, ἀληθέστατος. Εἰ δὲ εἰς υς εἴη τριγενὲς, δῆλον ὅτι καὶ τοῦτο ἀπὸ τοῦ οὐδετέρου ὁμοίως. βραχὺς βραχὺ, βραχύτερος, βραχύτατος. Πλὴν τοῦ ἡδύς, πολύς, τάχυς. ἡδίων γὰρ, ἥδιστος. καὶ πλείων, πλεῖστος. καὶ ταχίων, τάχιστος. ἢ καὶ ταῦτα προσθέσει ἔτι τοῦ τερος καὶ τατος εἴη ἂν σχηματίσαι, πλὴν τοῦ πολύς. ἡδύτερος, ἡδύτατος, ταχύτερος, ταχύτατος. Τῶν εἰς υς ἄρα τὰ μὲν ἁπλοῦν τὸ συγκριτικὸν καὶ ὑπερθετικὸν ποιεῖται. τὰ δὲ διπλοῦν. Ἁπλοῦν μὲν τὸ εὐρύς, εὐρύτερος γὰρ εὐρύτατος μόνον. Διπλοῦν δὲ τὸ ἡδὺς, καὶ γλυκὺς, καὶ ὠκὺς. Ταῦτα γὰρ οὐ μόνον εἰς τερος καὶ τατος, ἀλλὰ καὶ εἰς ων καὶ στος. γλυκίων, γλύκιστος. ὠκίων, ὤκιστος. Ὁμοίως δὲ τούτοις, καὶ αἰσχρὸς, καὶ ἐχθρός. Εἰ δὲ καὶ τὸ βράσσων, καὶ θάσσων, καὶ πάσσων οὐ παραλιπεῖν δέοι, εἴη ἂν οὕτω καὶ ἔτι ἂν τριπλοῦν τὸ σχῆμα παρέχοιτο. Ἀπὸ γὰρ τοῦ βραδὺς καὶ βραχύς, τὸ βράσσων συγκριτικὸν, καὶ ἀπὸ τοῦ ταχὺς, τὸ θάσσων. καὶ ἀπὸ τοῦ παχὺς, τὸ πάσσων. Τὰ δὲ εἰς ἄλλο τι λήγοντα τῷ εστερος, καὶ εστατος, ὡς ἐπιτοπλεῖστον εἰς συγκριτικὰ μετασχηματίζεται. ὧδε, σώφρων, σώφρονος, σωφρονέστερος, σωφρονέστατος. χαρίεις, χαρίεντος, χαριέστερος, χαριέστατος. Καὶ χωρὶς δὲ τοῦ ε. εὔνους, εὐνούστερος, εὐνούστατος. Οὐ μόνον δ᾽ ἀπὸ ὀνομάτων συγκριτικὰ, ἀλλὰ καὶ ἀπὸ Μετοχῶν, ἐῤῥωμενέστερος, καὶ ἔτι ἀπὸ Προθέσεων, πρότερος, καὶ ὑπέρτερος. καὶ ἀπὸ Ἐπιῤῥημάτων, ἐγγύτερος, πορρώτερος, ἀνώτερος.

FORMATIONES PATRONYMICORVM.

αδης. Patronymici aūt formatiōes huiusmodi. Quæcunq; nomina in ος purū desinūt, in αδης transformata, masculinū patro. faciūt. sol, solis filius. Quæcunq; uero

ιδης. in ος nō purū, in ιδης. saturnus, turni. filius. Quãq̃ quæ inflec. sunt quintæ, à genitiuis formãtur in ιδης, atq; in his sane Synæresis fit, in quibus ε penulti. est sylla. Et formatio

ων. αδης. alia in ων more Ionico. Pelops, pis, Pelopides. peleus pelei, peleides per Synæresin, & pelion. Primæ aūt in αδης faciunt. Aeneas Aeneades. Iphites Iphitades.

DE FOEMININORVM PATRONYMICORVM FORMATIONIBVS.

δ abijcitur. Foeminina uero patronymica à proprijs fiūt mascu. abiectiōe δ, Heliades, Helias. Nestorides, storis. Et sunt mascu. qdē declinatiōis primæ. fœm. uero quintæ. Priamides, midæ. Priamis, midis. Est aūt aliud patronymici genus improprie. masculinū quidē in διος. ut hyrrhadius. fœmininū uero in νη. ut Adrastine, Eetione. Atq; ita trifariã fuerit, tum masculinū, tum fœmininū.

διος νη.

FORMATIONES DIMINVTIVORVM.

Diminutiua uero partim à proprijs, partim ab appellatiuis formantur. ueluti zenodorus zenodorulus. ab homo aūt homūcio. At spēs quidē mascu. sex.

Spēs diminutiuorū. ων. In ων dissyllabice, Baccho, Bacchonaster. In ων. pen. ι. morio, stul. In αξ, ut rhodiolus rhodius. In ας, zeno. metrodorulus. In κος, homūculus. In λος, nautulus, nauta. Fœm. uero tres, In ων, hypsipylula hypsipyla. In ις famula la. In σκη. puellula puella. Neutrorū aūt una in ον. adolescētulus.

αξ. ας. κος. λος. ων. ις. σκη. ον.

FORMATIONES POSSESSIVORVM.

εος. ευς. κος. αδης. Possessiua itē & à proprijs & ab appellatiuis deducuntur. Et in εος qdē à terminatis in ευς, Neleus lei leum. Sed nō solū, nã ab homo humanū deducitur. In κος aūt & in αδης à finitis in ος ratio, ratiocinalis, sed nō solum. Nã & à rex regale, ab imago imaginariū. Grãmatici sane est, nihil obstante, quod inusitata sint, tradere ambas has species à singulis dictorum nominum deriuari. Vt enim ab homo

ΣΧΗΜΑΤΙΣΜΟΙ ΠΑΤΡΩΝΥΜΙΚΩΝ.

Πατρωνυμικοῦ δὲ σχηματισμοὶ τοιοῦτοι. ὅσα μὲν τῶν ὀνομάτων εἰς Ος καθαρὸν λήγει, εἰς Αδης μετασχηματιζόμενα, τὸ ἀρσενικὸν πατρωνυμικὸν ποιεῖ. ἥλιος ἡλιάδης. ὅσα δὲ μὴ εἰς καθαρὸν, εἰς Ιδης. κρόνος κρονίδης. τοῖς γε μὴν κλίσεως οὖσι πέμπτης ἀπὸ τῶν γενικῶν ὁ σχηματισμὸς εἰς ιδης. ἔνθα δὴ καὶ συναίρεσις γίνεται: ἐφ' ὧν τὸ ε παραλήγει: καὶ σχηματισμὸς ἕτερος εἰς ων ἰώνων. πέλοψ πέλοπος, πελοπίδης. πηλεὺς πηλέως, πηλείδης, καὶ πηλείδης κατὰ συναίρεσιν, καὶ πηλείων. Τῆς δὲ πρώτης εἰςάδης. αἰνείας αἰνειάδης. ἰφίτης ἰφιτάδης.

ΠΕΡΙ ΘΗΛΥΚΩΝ ΠΑΤΡΩΝΥΜΙΚΩΝ ΣΧΗΜΑΤΙΣΜΩΝ.

Τὰ δὲ θηλυκὰ πατρωνυμικὰ ἀπὸ τῶν ἰδίων ἀρσενικῶν, ἐκβολῇ τοῦ δη, ἡλιάδης ἡλιάς. νεστορίδης νεστορίς. καὶ ἔστι τὰ μὲν ἀρσενικὰ κλίσεως πρώτης. τὰ δὲ θηλυκὰ πέμπτης. πριαμίδης, πριαμίδου. πριαμίς, πριαμίδος. ἔστι δὲ καὶ ἑτέρου πατρωνυμικοῦ εἶδος καταχρηστικῶς, ἐπὶ μὲν ἀρσενικοῦ εἰς διος. οἷον ὑῤῥάδιος. ἐπὶ δὲ θηλυκοῦ εἰς νη. οἷον ἀδραστίνη. καὶ ἠετιώνη. ὡς δ' οὕτω τριχῶς ἂν εἴη, τότε ἀρσενικὸν, καὶ τὸ θηλυκόν.

ΣΧΗΜΑΤΙΣΜΟΙ ΥΠΟΚΟΡΙΣΤΙΚΩΝ.

Τὰ δὲ ὑποκοριστικὰ ἀπό κυρίων τε καὶ προσηγορικῶν σχηματίζεται. οἷον ἀπὸ μὲν τοῦ ζηνοδώρος, ζηνᾶς. ἀπὸ δὲ τοῦ ἄνθρωπος, ἀνθρωπίσκος. Εἴδη δὲ τῶν μὲν ἀρσενικῶν, ἕξ. εἰς ων δισυλλάβως, βάκχων ὁ βακχυλίδης. εἰς ων παραλήγον τῷ ι, μωρίων ὁ μωρός. εἰς αξ. ῥόδαξ ὁ ῥόδιος. εἰς ας ζηνᾶς, μητρᾶς. εἰς κος, ἀνθρωπίσκος. εἰς λος, ναυτίλος, ὁ ναύτης. Τῶν δὲ θηλυκῶν τρία, εἰς ων ὑψὼν ἡ ὑψιπύλη. εἰς ις, θεραπαινὶς, ἡ θεράπαινα. εἰς κη, παιδίσκη, ἡ παῖς. Τῶν δὲ οὐδετέρων ἓν εἰς ον, μειρακύλλιον.

ΣΧΗΜΑΤΙΣΜΟΙ ΚΤΗΤΙΚΩΝ.

Καὶ τὰ κτητικὰ δὲ ἀπὸ κυρίων καὶ προσηγορικῶν παράγεται, καὶ εἰς ειον μὲν ἀπὸ τῶν εἰς ευς, νηλεὺς νηλέως, νήλειον, ἀλλ' οὐ μόνον. ἀπὸ τοῦ ἀνθρώπου γὰρ τὸ ἀνθρώπειον. Τὰ εἰς κος δὲ καὶ εἰς ωδης, ἀπὸ τῶν εἰς ος. λόγος, λογικός. ἀλλ' οὐ μόνον, βασιλεὺς γὰρ βασιλικόν. καὶ δεκέλεια, δεκελικόν. Γραμματικοῦ δὴ κἂν ταῦθα μηδὲν ὑπὸ τοῦ ἀχρήστου παρακωλυόμενον θέσθαι, ἄμφω τὰ εἴδη ἀφ' ἑκάστου τῶν εἰρημένων παράγεσθαι ἂν ὀνομάτων. Ὡς γὰρ Aliâs παρακωλυομένου

ab homo, deducitur humanũ & humanũ, ita & ab Homerus ricum & Homericũ. & ab Aiax Aiacinis cinũ & Aiaceium. & à Plato Platonicũ & Platonicũ. Nõnulli uero & denominatiue à loco dicta possessiua, domesticatiua uocãt, ut cælestis & marinus, & horũ similia. Itaq; sumentur sic possessiua tripliciter, aut domestice, cæleste. aut consignificatiue, grammaticũ. aut materialiter, lapideũ.

Denominatiue possessiua. *Triplicia possessiua.*

FORMATIONES DENOMINATIVI.

Denominatiui aũt tot loci formatiui, quot & spẽs sunt nominis. At licuerit à singulis nominibus deducere. Masculinũ quidẽ in ιος unius generis, amicus, philo. Fœ. uero in οτης unius generis, amicitia. Neut. deniq; in ιον & generaliter in ον triũ generũ, amicitiale. Quãuis nõ eodẽ modo sint triũ generũ, sed pro uarijs formis syll. ultimę ac penultimę. humanũ igitur & humanũ & humanũ, & luteũ, & floridũ. Et generaliter secundũ traditã formationem specierũ nominis. Videndũ aũt est, an capax triũ generũ sit spẽs. neq; enim omnia in ον neutra triũ sunt generũ. Animalculũ nanq;, & adolescẽtulus, & lebetulus. Atq; in totũ denominatiua unius sunt generis. Cõsyderãdũ aũt & reliqs denominatiuorũ formatiões, secundũ differẽtiã specierũ, ut in diminutiuo quidẽ lapillus. homũculus, metrodorulus. In patronymico in δης.

ιος *οτης* *ιον. ον.* *ον* *δης.*

FORMATIONES VERBALIVM.

Verbalia uero, ut in genere loquar, deducũtur à passiuo præterito perfecto, uel à prima persona, uel secũda, uel tertia. Ac multa quidẽ uerbaliũ à prima, ut factus sum, opus, cõsyderatus sum, cõsyderatio. Fœmina uero in ις à secunda, solutus es, solutio. Quæ uero in τος triũ gen. à tertia, auditus est, audibilis. Insuper & in κριον appellatiua, potatus est, poculũ. Iam uero & figura præter prius dicta, aliqua decõposita erit, ut quæ à composita deducatur, philippus, philippides.

ις. *τος κριον.* *Decomposita.*

AD QVAS DECLINATIONES NOMINA QVAEQVE REFERANTVR.

Cum nomen in quinq; diuidatur inflexiones, ut dictum est, quomodo referatur ad unamquanq;, & commu

ἀπὸ τοῦ ἄνθρωπος, ἀνθρωπινὸν καὶ ἀνθρώπειον. οὕτω καὶ ἀπὸ τοῦ ὁμήρου, ὁμηρικὸν καὶ ὁμήρειον. καὶ ἀπὸ τοῦ αἴαντος, αἰαντικὸν καὶ αἰάντειον, καὶ ἀπὸ πλάτωνος, πλατωνικὸν καὶ πλατώνειον. ἔνιοι δὲ καὶ τὰ παρωνύμως ἀπὸ τόπου λεγόμενα κτητικὰ ἢ οἰκειοματικὰ ὀνομάζουσιν. οἷον τὸ οὐράνιος, καὶ θαλάσσιος, καὶ τὰ ὅμοια. ὥς τε καὶ εἴη ἂν οὕτω τὰ κτητικὰ τριχοῦς. ἢ γὰρ οἰκειοματικῶς, οὐράνιον. ἢ συνεκφαντικῶς, γραμματικόν. ἢ μετουσιαστικῶς, λιθῶδες.

ΣΧΗΜΑΤΙΣΜΟΙ ΠΑΡΩΝΥΜΟΥ.

Παρωνύμου δὲ τόποι σχηματιστικοί, ὅσα καὶ εἴδη ὀνόματος, καὶ εἴη ἂν ἀφ' ἑκάστου τῶν ὀνομάτων παράγειν. Ἀρσενικὸν μὲν εἰς ων μονογενές. φίλος, φίλων. θηλυκὸν δὲ εἰς οτης μονογενές. φιλότης. Οὐδέτερον δὲ εἰς ιον. καὶ ὅλως εἰς ον τριγενές. φίλιον, φιλικόν. οὐχ ἁπλοῦν μέντοι τριγενές, ἀλλ' ὡς τὰ τῶν εἰδῶν ληκτικά τε καὶ παραληκτικά. ἀνθρωπικὸν γοῦν, καὶ ἀνθρώπειον, καὶ ἀνθρωπῶδες. καὶ πήλινον. καὶ ἀνθηρόν. Καὶ ὅλως κατὰ τὸν ἀποδοθέντα σχηματισμὸν τῶν εἰδῶν τοῦ ὀνόματος. Σκοπεῖν δὲ χρή, καὶ εἰ δεκτικὸν τριγενείας τὸ εἶδος. οὐ γὰρ καθόλου τὰ εἰς ον οὐδέτερα, τριγενῆ. ζωΰφιον γοῦν καὶ μειρακύλλιον, καὶ λεβήτιον, καὶ ὅλως τὰ ὑποκοριστικά. μονογενῆ. Θεωρητέον δὲ καὶ τοὺς λοιποὺς τῶν παρωνύμων σχηματισμούς. κατὰ τὴν διαφορὰν τῶν εἰδῶν, οἷον ἐπὶ μὲν τοῦ ὑποκοριστικοῦ λίθαξ. ἀνθρωπίσκος. μητρᾶς. ἐπὶ δὲ τοῦ πατρωνυμικοῦ, εἰς δης.

ΣΧΗΜΑΤΙΣΜΟΙ ΡΗΜΑΤΙΚΟΥ.

Τὰ δὲ ῥηματικά, ὡς καθόλου εἰπεῖν, ἀπὸ τοῦ παθητικοῦ παρακειμένου, ἤτοι πρώτου προσώπου, ἢ δευτέρου, ἢ τρίτου. τὰ μὲν δὲ πολλὰ τῶν ῥηματικῶν, ἀπὸ τοῦ πρώτου. πεποίημαι, ποίημα. λελόγισμαι, λογισμός. Τὰ δὲ εἰς ις θηλυκὰ ἀπὸ τοῦ δευτέρου. λέλυσαι, λύσις. Τὰ δὲ εἰς τος, τριγενῆ ἀπὸ τοῦ τρίτου. ἤκουσται, ἀκουστός. Καὶ πρὸς τούτοις τὰ εἰς ηριον προσηγορικά. πέποται, ποτήριον. Σχῆμα δ' ἂν παρὰ τὰ πρότερον εἰρημένα, καὶ τὶ παρασύνθετον εἴη, οἷον ἀπὸ τοῦ συνθέτου παραγόμενον. Φίλιππος, φιλιππίδης.

ΕΦ' ΑΣ ΤΩΝ ΚΛΙΣΕΩΝ ΕΚΑΣΤΟΝ ΤΩΝ ΟΝΟΜΑΤΩΝ ΑΝΑΓΕΤΑΙ.

Εἰς πέντε δὲ τοὔνομα ἐπιμεριζόμενον κλίσεις ὡς εἴρηται, ὅπως ἀνάγοιτ' ἂν ἐφ' ἑκάστης, καὶ κοι-

communiter, & peculiariter uidebitur sic.

QVAE AD PRIMAM PERTINEANT.

ας purum. ης baryto- na. Igitur quæ in ας desinũt purũ, supra duas syl. simplicia, barytona, referũtur ad primã, æneas. Præterea in ης barytona simp. unius ge. spõdaica, hoc est quæcũque pen. habẽt longã. Chryses. Quãq; & nõ sim. eodẽ pertinẽt, nisi à neu. in ος cõpo. sint. exactor tribut. uictor in olympijs.

δης. Præterea quæ in δης formata sunt, siue patronymica, siue propria. Priamides, midæ. Palamides, midæ. Præterea

δος. quæ à neu. in δος cõponũtur. Cæterũ Hyperides, & Aristides & alia nõnulla, patronymicorũ formã sequũtur Præ-

της. terea in της per Iambũ desinẽtia, hoc est, quibus pen. ẽ breuis. ut dominus, mini, excepto Crates, nã Cratetis facit.

QVAE SECVNDAE.

α. η. Porrò in α uel in η desinẽtia fœ. maia, honor, ad secũdã pertinẽt.

QVAE TERTIAE.

ος. ον. In ος masculina & fœminina, & in ον neutra, ad tertiam pertinent. deus, uia, bonum.

QVAE QARTAE.

ως. Quæ uero in ως desinũt masc. & fœ. Attico more, & in ων neu. ad quartã pertinent. Ablatione enim finalis cõsonantis declinantur. Menelaus, Menelai, ferax, feracis. Referri etiã ad hanc possunt, & quæ declinãtur Dorice, ablatione ς. lapis, lapidis. podes, podis. Thomas, thomæ.

QVAE SINT QVINTAE.

Quæcunque uero aliã ab his quæ dicta sunt formã habẽt masc. & fœminina & neutra. ad quintã pertinẽt. Nã genitiuũ oĩa habẽt in ος, differẽter tamẽ. quatenus desinũt alia in ος purũ, alia nõ, sed addita consonante, siue tenui, siue aspirata, siue immutabili, siue media. Vocales igitur, in quas desinunt hmõi noĩa, sunt α ι υ ω.

α τος. Cõsonãtes uero σ νς λς ξ ψ ρ ς. Ergo quæ in α desinũt, nõ

Exceptiões. cõtracta, per τ declinãtur. gradus, gradus. Nisi si qd à masculino deformatũ est, hoc nãque sic masculini inflexionem hẽt, unde oritur. magnũ gni. quia magnus gni. Exceptis itẽ literarũ nominib. alpha, beta, indeclinabilia etenim.

ι τος. Quæ uero ĩ ι Græca. per τ. mel, mellis. Præter ea & quæ à mascu-

οὔτε καὶ ἰδία θεωροῖτο ἂν ὧδε.

ΟΣΑ ΕΠΙ ΤΗΝ ΠΡΩΤΗΝ.

Τὰ μὲν οὖν εἰς ας καθαρὸν ὑπὲρ δύο συλλαβὰς, ἁπλᾶ, βαρύτονα ὀνόματα, ἀνάγεται ἐπὶ τὴν πρώτην. αἰνείας. Ἔτι τὰ εἰς ης βαρύτονα ἁπλᾶ μονογενῆ σπονδειακά. τουτέστιν ὅσα δὴ καὶ τὴν παραλήγουσαν ἔχει μακράν. χρύσης. καὶ μὴ ἁπλᾶ δὲ, ἢν μὴ ἐξ οὐδετέρου εἰς ος λήγοντος συγκέηται. τελώνης. ὀλυμπιονίκης. Ἔτι τὰ εἰς δης ἐσχηματισμένα, εἴτε πατρωνυμικὰ, εἴτε κύρια. πριαμίδης, πριαμίδου. παλαμίδης παλαμίδου. Πλὴν τῶν ἀπὸ τῶν εἰς δος οὐδετέρου συνθέτων. Τὸ δὲ Ὑπερείδης, καὶ Ἀριστείδης, καὶ ἕτερ᾽ ἄττα τοῖς πατρωνυμικοῖς ἀκολουθοῦντα τυγχάνει. Ἔτι τὰ εἰς της Ἰαμβοκατάληκτα, τουτέστι τὰ βραχεῖα παραλήγοντα. οἷον δεσπότης, δεσπότου. πλὴν τοῦ κράτης, κράτητος γάρ.

ΟΣΑ ΕΠΙ ΤΗΝ ΔΕΥΤΕΡΑΝ.

Τὰ δὲ εἰς α, ἢ εἰς η θηλυκά. μαῖα, τιμή. ἐπὶ τὴν δευτέραν.

ΟΣΑ ΕΠΙ ΤΗΝ ΤΡΙΤΗΝ.

Τὰ δὲ εἰς ος ἀρσενικὰ καὶ θηλυκὰ, καὶ τὰ εἰς ον οὐδέτερα, ἐπὶ τὴν τρίτην. θεός. ὁδὸς, ἀγαθόν.

ΟΣΑ ΕΠΙ ΤΗΝ ΤΕΤΑΡΤΗΝ.

Τὰ δὲ εἰς ως ἀρσενικὰ καὶ θηλυκὰ ἀττικῶς, καὶ τὰ εἰς ων οὐδέτερα, ἐπὶ τὴν τετάρτην. Ἀφαιρέσει γὰρ τοῦ ληκτικοῦ συμφώνου κλίνεται. μενέλεως. μενέλεω. εὔγεων, εὔγεω. ἀνάγοιτο δ᾽ ἄν πως ἐπὶ ταύτην καὶ τὰ κλινόμενα Δωρικῶς, ἀφαιρέσει τοῦ σ. λάας, λάα. ποδῆς, ποδῆ. θωμᾶς, θωμᾶ.

ΟΣΑ ΕΠΙ ΤΗΝ ΠΕΜΠΤΗΝ.

Τὰ δὲ παρὰ τὰ εἰρημένα δὴ πάντα σχηματιζόμενα ἀρσενικά τε καὶ θηλυκὰ καὶ οὐδέτερα, ἐπὶ τὴν πέμπτην. Τὴν γὰρ γενικὴν πάντα ταῦτα ἔχει εἰς ος, διαφόρως μὲν τοι. ἢ τὰ μὲν εἰς καθαρόν. Τὰ δὲ μὴ, ἀλλὰ συνόντος συμφώνου. ἢ ψιλοῦ, ἢ δασέος, ἢ ἀμεταβόλου, ἢ μέσου. Τῶν μὲν οὖν φωνηέντων τελικὰ τῶν τοιούτων ὀνομάτων α. ι. υ. ω. Τῶν δὲ συμφώνων. σ. νς. λς. ξ. ψ. ν. ρ. Καὶ δὴ τὰ μὲν εἰς α λήγοντα ἀπαθῆ, τῷ τ κλίνεται. βῆμα, βήματος. Πλὴν εἴτι ἀπ᾽ ἀρσενικοῦ παρασχηματισμένον ἐστί. τὸ γὰρ τοιοῦτο τὴν τοῦ ἀρσενικοῦ κλίσιν ἔχει, ὅθεν παρῆκται. μέγα, μεγάλου, ὅτι μέγας μεγάλου. καὶ πλὴν τῶν ἐπὶ γραμμάτων ἄλφα. βῆτα. ἄκλιτα γάρ.

Τὰ δὲ εἰς ι ἑλληνικὰ μὲν ὄντα τῷ τ. μέλι, μέλιτος. Πλὴν τῶν

à masculino deformantur. nã & hæc masculini inflexionẽ
seruãt, à quo deducũtur. quid cuius, quia quis, cuius dici=
Barbara. mus. gratũ grati, quia gratus grati. Porrò barbara per ος
υ υοσ. purũ. sinapi sinapis. Quæ uero in υ, per ος purũ. genu
υ εος. genu. At quæ lõgã penulti. habẽt, aut quæ trium sunt ge.
ω οοσ. cõuerso υ in ι. grex gis, suaue suauis. acutũ ti. Cæterũ in
De in σ desi= ω per ος purũ. latona næ. Rursum in σ desinẽtia partim
nentibus. per ος purũ declinãtur, partim per τ tenue uel θ aspiratũ,
εσ εοσ. partim per δ mediũ. Desinẽtia ergo in ες, per ος purũ. ue=
ευσ εος. rum, ueri. Ad hæc & quæ in ευς aut in αυς, abiecta subiun=
αος. αυσ. ctiua ipsa uocali, rex regis, nauis nauis. Itẽ & quæ in ους si=
ους οος. militer, bos bouis. Exceptis pes pedis, & dens dẽtis. Quæ
Exceptiões. ex cõtractione tamẽ sunt, ad tertiã referuntur, mens tis ti.
Est tamẽ incõtracte declinare & hæc. mens mẽtis. Adiun=
οις. gãtur aũt his & in οις desinẽtia per Synæresin. ouis. n. ouis
ος εος. facit, & tabes tabis. Præterea in ος neu. robur oris. lumẽ
ης ες. inis. Et quæcũq; ab his cõposita sunt in ης. demosthenes,
sthenis. ac generaliter quæ in ησ desinũt, habẽtia neutrum
formatũ in ες. uerus ueri. horũ aũt formã sequitur Mars.
ως ωος. Præterea in ως masculi. longã pen. habẽtia. Minos Mi=
nois. heros ois. cõmuniter uidelicet. Nã Attice quartæ fi=
unt inflexionis. Minos Minois. Monosyllaba itẽ in ως nõ
ως ωτος. cõtracta. lupis pi. famulus li. Nã quæ ex cõtractiõe sunt
per τ declinãtur. lumen nis. Ad quæ sanè referri poteſt au=
ris, huius auris. Ac rursum & in ως monosyllaba, quæ ha
bẽt δ, uel θ, uel τ. per ος purũ declinãtur. ut famulus, lupus.
tros. aliã uero aliquã habẽtia cõsonã, per τ. color. uir. Ad=
iungatur his quæ dicta sunt, & lapis monosyllabũ, nẽpe
ως fœmi. lapidis. Præterea in ως fœ. oxytona. pudor doris. auro=
ra auroræ. Nã quæ barytona sunt, ad quartã referuntur.
ις ιος. cos, coi. aurora ræ. Rursum in ις appellatiua barytona,
quæ natura longã penul. nõ hãbẽt. serpens, pẽtis. iniuria
ις ιτος. riæ. Præter gratia. puer. nam gratiæ dicitur & pueri. Ad
υς υος. hæc in υς, penultimã acutã habẽtia. botrus tri. præter ga=
υς υθος. lea galeæ. Quanq̃ horũ nõnulla mutata η in ι declinãtur.
cubitus cubiti. securis curis. Cõsimiliter & oxytona, quæ
unius sunt ge. & lõgã υ habẽtia. multitudo nis. caligo nis.
calami=

ἀπὸ ἀρσενικοῦ παρασχηματισμένων. ταῦτα γὰρ τὴν τοῦ ἀρσενικοῦ κλίσιν φυλάττει, ὅθεν παρῆκται. τί, τινός. ὅτι τίς τινός. εὔχαρι, εὐχάριτος. ὅτι εὔχαρις εὐχάριτος. βάρβαρα δὲ, τῷ ος καθαρῷ, σίνηπι, σινήπιος. Τὰ δὲ εἰς υ, τῷ καθαρῷ. γόνυ, γόνυος. καὶ μακρὰν τὴν παραλήγουσαν ἔχοντα, ἢ τριγενῆ ὄντα, τροπῇ τοῦ υ εἰς ε. πῶϋ, πώεος. ἡδὺ, ἡδέος ὀξὺ. ὀξέος. Τὰ δὲ εἰς ω τῷ καθαρῷ. λητώ, λητόος. Πάλιν δὲ τὰ εἰς σ λήγοντα, τῇ μὲν τῷ καθαρῷ κλίνεται, τῇ δὲ τῷ τ ψιλῷ, ἢ τῷ θ δασεῖ, ἢ τῷ δ μέσῳ, Τὰ μὲν γὰρ εἰς ες, τῷ καθαρῷ. ἀληθές, ἀληθέος. Ετι τὰ εἰς ευς, ἢ εἰς αυς ἀποβάλλοντα τὸ ὑποτακτικὸν αὐτῶν φωνῆεν. βασιλεὺς, βασιλέως. ναῦς, ναός. Ετι τὰ εἰς ους. ὁμοίως. βοῦς, βοός. Πλὴν τοῦ πούς, ποδός. καὶ ὀδούς, ὀδόντος, Εκ συναιρέσεως γε μὴν ὄντα, ὅσα τὴν τρίτην ἀνάγεται. νοῦς, νοῦ, νῷ, ἔσι μέν τοι καὶ ὡς ἀπαθῆ κλίνειν τὰ τοιαῦτα. νοῦς, νοός. Συντετάχθω δὲ τοῖς τοιούτοις καὶ τὰ εἰς οις κατὰ συναίρεσιν, οἷς γὰρ οἰός. καὶ φθοῖς, φθοιός. Ετι τὰ εἰς ος οὐδέτερα. σθένος, σθένεος. φάος, φάεος, Καὶ ὅσα ἐκ τούτων σύγκειται εἰς ης. δημοσθένης, δημοσθένεος. καὶ ὅλως τὰ εἰς ης λήγοντα, ὧν οὐδέτερον παρεσχηματισμένον εἰς ες. ἀληθής, ἀληθέος. τούτοις δ' ἠκολούθησε καὶ τὸ ἄρης. Ετι τὰ εἰς ως ἀρσενικὰ μακρᾷ παραλήγοντα. μίνως, μίνωος. ἥρως, ἥρωος. κοινῶς δηλονότι. Αττικῶς γὰρ τετάρτης κλίσεως. μίνως, μίνω. Ετι τὰ εἰς ως μονοσύλλαβα ἀπαθῆ. θώς, θωός. δμώς, δμωός. Τὰ γὰρ ἐκ συναιρέσεως τῷ τ κλίνεται. φῶς, φωτός. ἐφ' ἃ δὴ ἀναφέροιτ' ἂν καὶ τὸ οὖς, ὠτός. Καὶ ἄλλως τὰ εἰς ως μονοσύλλαβα, ἔχοντα μὲν τὸ δ, ἢ θ, ἢ τ, τῷ καθαρῷ κλίνεται. δμώς. θώς. τρώς. ἄλλο δέ τι ἔχοντα σύμφωνον, τῷ τ. χρώς. φώς. Συντετάχθω δὲ τοῖς εἰρημένοις, καὶ τὸ λᾶς μονοσύλλαβον λαὸς γάρ. Ετι τὰ εἰς ως θηλυκὰ ὀξύτονα ὄντα. αἰδώς, αἰδόος. ἠώς, ἠόος. βαρύτονα δ' ὄντα ὅσα τὴν τετάρτην ἀνάγεται. κίως, κίω. τῶς, τῶ. Ετι τὰ εἰς ις προσηγορικὰ βαρύτονα μὴ φύσει ὄντα μακροκατάληκτα. ὄφις, ὄφιος. ὕβρις, ὕβριος. πλὴν τοῦ χάρις, παῖς. χάριτος γὰρ τοι καὶ παῖδος. Ετι τὰ εἰς υς βαρύτονα. βότρυς, βότρυος. Πλὴν τοῦ κόρυς, κόρυθος. τούτων δ' ἔνια καὶ μεταβολῇ τοῦ υ εἰς ε κλίνεται. πῆχυς, πήχεος. πέλεκυς, πελέκεος Ωσαύτως δὲ ὀξύτονα ὄντα μονογενῆ, ἢν μακρὸν ἔχῃ τὸ υ. πληθύς, πληθύος. ἀχλὺς, ἀχλύος.

 ὀϊζύς,

calamitas,tis.familiaris,ris. Cæterũ quæ triũ ſunt gene. conuerſa υ in ι declinantur.iucundus,iucundi.

ας ατὸς. Rurſum in ας neutra per τ infle&untur.caro, carnis.au ris auris.Item deſinẽtia in ας,maſculina,barytona,longã habẽtia ultimã, quæ ſanè & ν ante τ aſſumunt. Aiax aia:
ας αvος. cis.calchas, calchãtis. Præter ea quæ fœminina in αινα ex ſe habent formata.ſiquidem niger,nigri,quia nigra.Item quæ plureis duabus habent ſyl. ſi à diſſyllabo hmõi fue: rint cõp oſita,ſic declinãtur. polydamas, polydamantis.
ας ατος. Congruunt uero his nomina in ας deſinentia acuta,& nõ pura maſculina. ut lorũ lori. omnis circunflexũ ſimiliter. omnis enim facit,& ueniẽs ab hoc neut.totũ.Item quæ in
ασ ιυτος. ας purũ deſinunt,abiecta poſteriore ipſa uocali.uenuſtus uenuſti.Contingit ſanè & quæ ab his formantur,deſinen tibus in ιμ neutris declinari ſimiliter. Nã μ ĩmutabilis eſt.
ασ ηνοσ. uenuſtus,uenuſtũ,uenuſti. Excipiatur menſis Aeolicũ,
υσ υντοσ. quod menſis facit.Item in ους cõtracta, incontractor[illegible]ha: bent declinationẽ. placenta,placentæ.placẽta placentæ.
κσ κτος. Item in κς barytona Iambica, hoc eſt,quibus correpta eſt penultima,nec in ultima ſyll. habent τ. Laches, lachetis.
τυς τῆτοσ. Præterea in τυς fœm.Iambica.amicitia, amicitiæ. Rur
ως ωτως. ſum in ως oxytona,ſi plureis una ſyllabas habẽt.ſudor,ſu doris. Deinde in ως maſculina baryt.penult.habẽtia bre
αισ αιτοσ. uem.riſus, riſus. Præterea in αις non cõtracta, ut conui
αις αιδος. uiũ,cõuiuij.paſta,paſtæ. Nam puer,pueri ex cõtractiõe
ασ αδοσ. eſt. Itẽ in ας oxytona.Pallas palladis.ternio onis.Arcas
ις ιδος. Arcadis.Præter caput,nempe capitis. Cæterum pro: pria in ις per δ declinãtur cõmuniter.Paris idis. Similiter in in ις fœ.longã habẽtia penul.ira,iræ. adoleſcẽtula ,læ. Ad hæc in ις oxyt.una terminatiõe.Priamis,midis. Item
ασ αδοσ. deſinẽtia in ας nõ purũ.clauis uis.lignũ obtentũ. Præte:
υσ υδοσ. rea in υς fœ.oxytona,in breue deſinẽtia.chlamys mydis.
ισ ιθοσ. Et quæ acuũt penult.aduena.nẽpe aduenæ. Porrò quæ deſinũt in ις appell.baryt.per longã finita,infle&ũtur per
ινσ ινθοσ. θ.gallina linæ. Similiter & quæ in νς.elmins elminthos.
λσ λοσ. At quæ in λς, abiecta σ quæ ẽ immutabilis, declinãtur.ſal ſalis.Quæ uero in ξ,partim per κ tenue declinãtur,partim per

ὀξύς, ὀξύος. ὀαρισύς, ὀαρισύος. Τριγενῆ δὲ ὄντα καὶ τροπῇ τοῦ υ εἰς ε κλίνεται. ἡδύς ἡδέος.

Τὰ δὲ εἰς ας οὐδέτερα, τῷ τ κλίνεται. κρέας, κρέατος. οὖας, οὔατος. Ετι τὰ εἰς ας ἀρσενικά, δισύλλαβα, βαρύτονα, μακροκατάληκτα, ἃ δὴ καὶ τὸ ν πρὸ τοῦ τ προσλαμβάνει. αἴας, αἴαντος. κάλχας, κάλχαντος. Πλὴν τῶν ἐχόντων θηλυκὰ εἰς αινα μετασχηματιζόμενα. μέλας γὰρ μέλανος, ὅτι μέλαινα. καὶ ὑπὲρ δύο δὲ συλλαβὰς ὄντα, εἰ ἀπὸ δισυλλάβου τοιούτου τυγχάνει συγκείμενα, οὕτω κλίνεται. πολυδάμας, πολυδάμαντος. Παραπλησίως δὲ τούτοις, καὶ τὰ εἰς ας ὀξύτονα, καὶ μὴ καθαρὰ ἀρσενικά. οἷον ἱμάς, ἱμάντος. καὶ τὸ πᾶς δὲ περισπώμενον ὁμοίως. παντὸς γάρ. καὶ τὸ ἀπ' αὐτοῦ οὐδέτερον, πᾶν. Ετι τὰ εἰς ας καθαρόν, ἀποβάλλοντα τὸ ὑπακτικὸν αὐτῶν φωνῆεν. χαρίεας, χαρίεντος. Συμβαίνει δ' ἄρα, καὶ τοῖς ἀπὸ τούτων παρεσχηματισμένοις, εἰς εν οὐδετέροις κλίνεσθαι ὁμοίως, τὸ γὰρ ν ἀεὶ μετάβολον. χαρίεας, χάριεν, χαρίεντος. Εξαιρείσθω τὸ μὰς Αἰολικόν, μηνὸς γάρ. Καὶ τὰ εἰς ους δὲ συγκεκριμένα, τῶν ἐντελῶν ἔχει τὴν κλίσιν. πλακόεις, πλακόεντος, πλακοῦς, πλακοῦντος. Ετι τὰ εἰς ης βαρύτονα, ἰαμβικά, τουτέστι τὰ βραχεῖα παραλήγοντα, μὴ ἐσχατοσυλλαβοῦντα τῷ τ. λάχης, λάχητος.

Ετι τὰ εἰς της θηλυκὰ ἰαμβοκατάληκτα. φιλότης, φιλότητος. Ετι τὰ εἰς ως ὀξύτονα, ὑπὲρ μίαν συλλαβήν. ἱδρώς, ἱδρῶτος. Ετι τὰ εἰς ως ἀρσενικά, βαρίτονα, βραχεῖα παραλήγοντα. γέλως, γέλωτος. Ετι τὰ εἰς αις ἀπαθῆ. οἷον δαίς, δαιτός. σαίς, σαιτός. τὸ γὰρ παῖς, παιδός, ἐκ συναιρέσεως. Ετι τὰ εἰς ας ὀξύτονα. παλλάς, παλλάδος. τριάς, τριάδος. Αρκάς, Αρκάδος. Πλὴν τοῦ κράς, κρατὸς γάρ. Τὰ δὲ εἰς ις κύρια, τῷ δ κλίνεται κοινῶς. πάρις, πάριδος. Ετι τὰ εἰς ις θηλυκά, μακροκατάληκτα. μῆνις, μήνιδος. κνᾶνις, κνάνιδος. Ετι τὰ εἰς ις ὀξύτονα μονοκατάληκτα. Πριαμίς, Πριαμίδος. Ετι τὰ εἰς εις μὴ καθαρά. κλεὶς, κλειδός. ἀντήρεις, ἀντήρειδος. Ετι τὰ εἰς υς θηλυκά, ὀξύτονα, βραχυκατάληκτα. χλαμύς, χλαμύδος. καὶ προπαροξύτονα, τὸ ἔπηλυς, ἐπήλυδος γάρ. Τὰ δὲ εἰς ις προσηγορικά, βαρύτονα, μακροκατάληκτα, τῷ θ. ὄρνις, ὄρνιθος. Ομοίως δὲ καὶ τὰ εἰς νς. ἕλμινς, ἕλμινθος. Τὰ γε μὴν εἰς λς ἐκβολῇ τοῦ ς τῷ ὑπάρχοντι ἀμεταβόλῳ κλίνεται. ἅλς, ἁλός. Τὰ δὲ εἰς ξ, τῇ μὲν τῷ κ ψιλῷ κλίνεται, τῇ δὲ τῷ

χ δασεῖ.

per χ aſpiratũ, partim per γ mediũ. Etenim barytona, ut
αξ ακος. in genere dicã, declinãtur per κ. thorax cis. Præterea quæ
αξ αγος. habẽt uerbũ in ζω uel in γω, nẽpe hæc per γ. rapax cis, quo-
ιξ ιγος. niã rapio. cicada, cicadæ, quod ſtrido. tuba tubæ, quoniã
εξ εγος. originale habet tuba cano. lelex lelegis, quia dico. Exce-
αξ ακτος. pto rex, quia regis facit, ne cõueniret cũ nomine caſtor.
ηξ ηγος. Cæterũ oxytona per γ declinãtur. ſtimulus, i. capra æ.
κξ κχος. rupes is. Exceptis etiam tuſſis ſſis. lepus poris. Exceptis
ωξ ωκος. & quæ ante ξ conſonantẽ habent diuerſam à γ. ut caro. nã
carnis facit. Accuratius, quæ in αξ ſunt, per κ declinantur.
ηξ ηκος. carbo nis. thrax thracis, præter rapax & rex. Et quæ in κξ
ſiquidẽ ſimplicia fuerint, per κ declinãtur. formica æ. Con
tra quæ cõpoſita, per γ. ſtimulus ſtimuli. Cæterum in ιξ,
per κ. Præter cicada cicadæ. & pilus, nam pili facit. Præ-
υξ υκος. terea in υξ natura longã pen. habentia, & quæcunq; dua-
bus conſonis efferũtur: quarũ altera ad primã coniu. perti
neat, per κ decli. huius cochlearis, bebrycis. ornatus capi-
tis. Quæ uero huiuſmodi nõ ſunt, inflectuntur per γ. can-
ωψ ωπος. thus thi. Item in ωξ ſimplicia. præter rupes. In ωψ uero
αψ αφος. per π inflectuntur pleraq;. Cyclops clopis. Arabs tamen
υψ βος. Arabis facit. chalybs chalybis. Libs bis. uena næ. cinyps
κμ κνος. cinyphis. Porrò in κμ aut in ρ per eandẽ inflectuntur im-
κμ ινος. mu. græcus græci. Neſtor oris. Vertitur aũt in deſinenti-
bus in κμ barytonis idem κ in ι iuxta formã neutrorũ. ut te-
ner teneri. tenerum nanq; neu. Item in penacutis quę per
μ inflectũtur. paſtor ſtoris. præter menſis ſis. Quin quædã
κρ ιρός. etiam quæ nõ habẽt μ. ceruix & mens, eodẽ modo decli-
nantur. ceruicis mentis. Cõſimiliter & quæ in κρ, nõnul
la mutãt κ in ι, ut quæcunq; barytona, quæ longã habent
penultimã. pier, pieris. Itẽ quæ in τηρ. aſtrũ. pater. mater.
ιμ ινος. filia. Et quæ in θηρ. æther. Cæterũ quæ in ιμ mutata μ in
ις ινος. σ, rectũ terminant, unde bitermina nominantur. Quanq̃
inflexionis manẽt eiuſdẽ, nempe ut delphin inis dicimus,
ſic & delphis dephinis. Sic & littus littoris, & Salamis Sa-
τίς. laminis. Atq; id identidem in cæteris. His uero & aliquis
unius terminatiõis reſpõdet. nam alicuius. Porrò pecten
biforme eſt, nam uelut in κσ deſinẽs, cõicat cũ biterminis.

ut uero

χ δασεῖ, ἢ τῷ γ μέσῳ. Βαρύτονα μὲν γὰρ ὄντα ὡς τύπῳ εἰπεῖν, τῷ κ. θώραξ, θώρακος. Πλὴν τῶν ἐχόντων τὸ ῥῆμα εἰς ζω, ἢ εἰς γω, ταῦτα γὰρ τῷ γ. ἅρπαξ, ἅρπαγος, ὅτι ἁρπάζω. τέττιξ, τέττιγος, ὅτι τεττίζω. σάλπιγξ, σάλπιγγος, ὅτι σαλπίζω. λέλεξ, λέλεγος, ὅτι λέγω. Καὶ πλὴν τοῦ ἄναξ, ἄνακτος γάρ, ἵνα μὴ συνεμπέσῃ τῷ ἄνακος. Οξύτονα δὲ ὄντα τῷ γ. βουπλὴξ, βουπλῆγος. αἴαξ, αἰγός. ῥὼξ ῥωγός. Καὶ πλὴν τοῦ βὴξ, βηχός. πτὼξ, πτωκός. Καὶ πλὴν τῶν πρὸ τοῦ ξ σύμφωνον ἐχόντων ἕτερον τι τοῦ γ. οἷον σάρξ, σαρκὸς γάρ Ακριβέστερον δὲ, τὰ εἰς αξ, τῷ κ. ἄνθραξ, ἄνθρακος. θρὰξ, θρακός. Πλὴν τοῦ ἅρπαξ, καὶ ἄναξ. Καὶ τὰ εἰς ηξ, ἁπλᾶ μὲν ὄντα, τῷ κ. μύρμηξ, μύρμηκος. Σύνθετα δὲ τῷ γ. βουπλὴξ, βουπλῆγος. Καὶ τὰ εἰς ιξ δὲ, τῷ κ. Πλὴν τοῦ τέττιξ, τέττιγος. τὸ θρὶξ, τριχὸς γάρ. Ετι τὰ εἰς υξ φύσει μακρᾷ παραληγόντα, καὶ ὅσα διὰ δυοῖν συμφώνοιν προφέρεται, ὧν θάτερον τῆς πρώτης συζυγίας, τῷ κ. δοίδυκος. βέβρυκος. ἄμπυκος. Τὰ δὲ μὴ οὕτως ἔχοντα, τῷ γ. ἄντυξ, ἄντυγος. Ετι τὰ εἰς αξ ἁπλᾶ. Πλὴν τοῦ ῥώξ. Τὰ δὲ εἰς ψ. τῷ π κλίνεται ὡς ἐπιτοπλεῖστον. κύκλωψ, κύκλωπος. Αραψ μέν τοι, Αραβος. χάλυψ, χάλυβος. λίψ, λιβός. φλέψ, φλεβός. κίνυψ, κίνυφος. Τὰ δὲ εἰς ν, ἢ ρ, τῷ αὐτῷ κλίνεται ἀμεταβόλῳ. ἕλλην, ἕλληνος. νέστωρ, νέστορος. Τρέπεται δὲ καὶ τῶν εἰς ην βαρύτονον τὸ η αὐτὸ εἰς ε, παρασχηματισμὸν οὐδετέρου ἐχόντων. τέρην, τέρενος. τέρεν γάρ. καὶ τῶν ὀξυτονουμένων, Οἷς τὸ μ κλιτικόν. ποιμὴν, ποιμένος. πλὴν τοῦ μὴν, μηνός. καὶ τῶν μὴ ἐχόντων δὲ τὸ μ κλιτικόν. αὐχὴν καὶ φρὴν, οὕτω κλίνεται. αὐχένος, φρενός. Ομοίως δὲ καὶ τῶν εἰς ηρ, ἔνια μεταβάλλει τὸ η, οἷον ὅσα βαρύτονα ὄντα μακρὰν ἔχει τὴν παραλήγουσαν. πίηρ, πίερος. Καὶ τῶν εἰς τηρ. ἀστὴρ, πατὴρ, μήτηρ, θυγάτηρ. καὶ τῶν εἰς θηρ. αἰθήρ. Τὰ δὲ εἰς ιν. μετὰ τροπῆς ἔτι τοῦ ν εἰς σ εὐθυολεκτεῖται, ὅθεν καὶ διακατάληκτα ὀνόμασται. Τῇ γε μὴν κλίσει ἐμμένει τῇ αὐτῇ. ὡς γὰρ δελφὶν, δελφῖνος. οὕτω καὶ δελφὶς, δελφῖνος, ὥς τε καὶ θὶς, θινός. καὶ Σαλαμὶς, Σαλαμῖνος. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, Τούτοις δὲ καὶ τὸ τὶς μονοκατάληκτον παρακολουθεῖ. τινὸς γάρ. Τὸ δὲ κτεὶς ἐπαμφοτερίζει ὡς μὲν γὰρ εἰς εις λῆγον, κοινωνεῖ τοῖς διακαταλήκτοις.

ut uero per ι declinatur,cũ finitis in κν.nimirũ pectinis. In ων uero terminata,quædã etiã τ assumunt,ut circunflexa. xenophon,phontis.Præter Neptunus,n ã Neptuni facit. Et quæ fœminina in αινα habẽt deformata . leo enim facit leõis,quia leęna dicitur.draconis,quia dracæna.Tametsi generale illud nõ est. Siquidẽ Lacon,conis , q̃uis fœmininũ sit Lacæna.

ων ὄντος.

Exceptiões.

NVMERALIA.

IAm uero referri possunt & numeralia ad quintã.unus unius. tres,triũ,tribus . quatuor,horũ,his. Præter duo. duorũ.Nã tertiæ huiusmodi figura est.'ut et ambo,amborum. Cæterum duo non solũ in accusatiuo dicitur, sed & genitiuo & datiuo.

Communia declinationum omnium.

COmmune aũt est oĩm declinationũ,quod genitiuũ pluralẽ habẽt desinentẽ in ων, & quod eundẽ habẽt rectũ et uocatiuũ ĩ oĩni numero, nisi quod in sing. fit tantũ Attice,in duali uero & plurali,generaliter.

Communia parisyllaborum.

PArisyllaborũ uero cõe est,quod datiuũ habẽt in ι nõ expressum desinentẽ , unà cũ uocali nominatiui,aut cũ maiore illi respõdente.Aeneas,Aeneæ.sermoni. Itẽ quod accusatiuũ hẽt in ν desinentẽ cũ uocali recti. Aenean. sermonẽ. Notẽtur inter noĩa quartæ, Athonẽ.con. teon.leporẽ.quæ accusatiui sunt absq; ν,more Attico.

Exceptiões.

Communia primæ & secundæ.

Primæ uero& secundę commune est , quod dtũs singularis desinẽs quidem in α, cõuenit in uoce cum recto & accu[illegible]atiuo duali. huic Aeneæ, hi d.æ uel as.huic maiæ, hæ d.æ uel as.Item quod quãdo in η dtũs fit,mutata η in α, & ablata nõ expressa ι faciũt rectũ & accusatiuũ dualium. huic Chrysæ,hi.d.æ.uel as.huic musæ, hæ.d.æ uel as.

Communia primæ,secundæ & quartæ.

Pimæ uero & secundæ & quartæ cõe est, quod ex recto & accusati. duali,assumptione ι & ν,faciunt genitiuum & datiuũ dualiũ.duo Aeneæ,rum uel is.duæ musæ, arũ uel is.duo Menelai,orũ uel is . Porrò quod assumpto

ι tantum

ὡς δὲ τῷ ε κλινομένων, κοινωνεῖ τοῖς ἐς ην. κτενὸς γάρ. Τῶν δὲ εἰς ων ἔνια καὶ τὸ τ προσλαμβάνει, οἷον τὰ περισπώμενα. ξενοφῶν, ξενοφῶντος. Πλὴν τοῦ Ποσειδῶν, Ποσειδῶνος γάρ. Καὶ τὰ ἔχοντα θηλυκὰ εἰς αινα μετασχηματιζόμενα. λέων γὰρ λέοντος, ὅτι λέαινα. καὶ δράκων δράκοντος, ὅτι δράκαινα. Καθόλου δὲ οὐδὲ τοῦτο. Λάκων γὰρ Λάκωνος, καί τοι τὸ θηλυκὸν ὑπάρχον τὸ Λάκαινα.

ΑΡΙΘΜΗΤΙΚΑ.

Ἀνάγοιτο δ' ἄν πως καὶ τὰ ἀριθμητικὰ ἐπὶ τὴν πέμπτην. εἷς, ἑνός. τρεῖς, τριῶν, τρισί. τέσσαρες, τεσσάρων, τέσσαρσι. Πλὴν τοῦ δύο, δυοῖν. Τρίτης γὰρ τὸ τοιοῦτο σχῆμα. οἷον καὶ τὸ ἄμφω, ἀμφοῖν. Δύο δὲ οὐ μόνον ἐπὶ αἰτιατικῆς λέγεται, ἀλλὰ καὶ ἐπὶ γενικῆς καὶ δοτικῆς.

ΚΟΙΝΑ ΤΩΝ ΚΛΙΣΕΩΝ ΑΠΑΣΩΝ.

Κοινὸν δ' ἁπασῶν τῶν κλίσεων, τὸ τὴν γενικὴν τῶν πληθυντικῶν ἔχειν λήγουσαν εἰς ων, καὶ τὸ τὴν αὐτὴν ἔχειν εὐθεῖαν καὶ κλητικὴν ἐπὶ παντὸς ἀριθμοῦ. πλὴν ὅσον ἐπὶ μὲν ἑνικοῦ Ἀττικῶς, ἐπὶ δὲ δυϊκοῦ καὶ πληθυντικοῦ ὅλως.

ΚΟΙΝΑ ΤΩΝ ΙΣΟΣΥΛΛΑΒΩΝ.

Τῶν δὲ ἰσοσυλλάβων κοινὸν, τὸ τὴν δοτικὴν ἔχειν εἰς ι ἀνεκφώνητον λήγουσαν, μετὰ τοῦ φωνήεντος τῆς εὐθείας, ἢ καὶ μετὰ μείζονος ἀντιστοίχου. Αἰνείας, Αἰνείᾳ. λόγος, λόγῳ. Καὶ τὸ τὴν αἰτιατικὴν εἰς ν λήγειν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας. Αἰνείαν. λόγον. Σεσημειώσθω ἐπὶ τῶν τεταρτοκλίτων. Ἄθω. κῶ. τέω. λαγώ. αἰτιατικολογούμενα ἄνευ τοῦ ν Ἀττικῶς.

Κοινὰ τῆς πρώτης καὶ δευτέρας.

Τῆς δὲ πρώτης καὶ δευτέρας κοινὸν, τὸ τὴν δοτικὴν τῶν ἑνικῶν λήγουσαν μὲν εἰς α, ὁμόφωνον ἑαυτῇ ἔχειν τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν. τῷ Αἰνείᾳ, τὼ Αἰνεία. τῇ μαίᾳ, τὰ μαία. λήγουσαν δὲ εἰς η μεταβολῇ τοῦ η εἰς α, καὶ ἀφαιρέσει τοῦ ἀνεκφωνήτου ι γίνεσθαι τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν. τῷ χρύσῃ, τὼ χρύσα. τῇ μούσῃ, τὰ μούσα.

Κοινὰ Πρώτης, καὶ Δευτέρας, καὶ Τετάρτης.

Τῆς δὲ πρώτης καὶ δευτέρας καὶ τετάρτης κοινὸν, τὸ τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν προσλήψει μὲν τοῦ ι καὶ ν, γίνεσθαι γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν. τὼ Αἰνεία, τοῖν Αἰνείαιν. τὰ μούσα, ταῖν μούσαιν. Τὼ Μενέλεω, τοῖν Μενέλεῳν. προσλήψει δὲ τοῦ

ι tantũ, fit rectus pluraliũ .duo Aeneæ.p.Aenæ.d.musæ. p.musæ. d. Menelai.p. Menelai. Præterea quod ex ntõ plu. assumptiõe σ, dtũs formetur pluraliũ. hi Aeneæ, his Aeneis.hæ musæ, his sis. hi Menelai, his Menelais. Abiecta aũt ι, & assumpta σ accusati. faciũt.hi Aeneæ, hos Aeneas.hæ musæ, has musas.hi Menelai, hos Menelaos.

Communia primæ & tertiæ.

Primæ uero ac tertiæ cõe est, quod uersa ultima in ου declinantur. Aeneas, Aeneæ. sermo, sermonis.

Communia primæ & quintæ.

Cæterum primæ & quintæ commune est, quod à recto uocatiuũ faciunt ablatione σ. ut hic Aeneas, o Aenea. hic uenustus, o uenuste.

Communia secundæ & quintæ.

Porrò secũdæ & quintæ cõe est, quod eandẽ uocẽ omnino hẽt uctũs cũ recto. hæc maia, o ia. hic Laches, o es.

Communia tertiæ & quartæ.

Tertiæ uero & quartæ cõmune est, quod dtũs singularis eandẽ habet uocem cum recto & accusatiuo duali. sermoni, hi hos nes. Menelao, lai, laos. Præterea quod à nominatiuo pluraliũ assumptiõe σ formetur datiuus pluralis. sermones, sermonibus. Menelai, Menelais.

Communia tertiæ & quintæ.

Tertiæ uero & quintæ cõmune est, quod à recto & accusatiuo dualiũ, fiat in οιν genitiuus & datiuus dualiũ. sermones, num & nibus. aiaces, cum, & cibus.

PROPRIVM PRIMAE.

RVrsum primæ est proprium, uocatiuũ fieri in his, quæ habẽt τ, aut sunt gẽtilia, non solũ ablatione σ, sed & mutatione η in α. hic propheta, o propheta. hic persa, o persa. Huius aũt eiusdẽ est, quod genitiuũ singularẽ habet in εω more Ionicõ. famuli, famuli. pelidæ, pelidæ. Vnde interiectione α, fit pelidæ.

Proprium secundæ.

Secundæ autem, quod assumptiõe σ declinatur. maia maiæ. honor, honoris. Item quod manet α in genitiuo, si purum sit, aut cum δ, aut θ, aut ρ. Sin secus habet, uers

ι μόνῳ γίνεσθαι εὐθεῖαν τῶν πληθυντ. τῷ αἰνεία, οἱ αἰνεῖαι. τᾷ μοῦσα, αἱ μοῦσαι. τῷ Μενέλεω, οἱ μενέλεῳ. Ετι τὸ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, προσλήψει μὲν τοῦ σ δοτικὴν γίνεσθαι τῶν πληθυντικῶν. οἱ Αἰνεῖαι, τοῖς Αἰνείαις. αἱ μοῦσαι, ταῖς μούσαις. οἱ Μενέλεω, τοῖς μενέλεως. Εκβολῇ δὲ τοῦ ι, καὶ προσλήψει τοῦ σ αἰτιατικήν. οἱ Αἰνεῖαι, τοὺς Αἰνείας. αἱ μοῦσαι, τὰς μούσας. οἱ Μενέλεῳ, τοὺς Μενέλεως.

Κοινὰ πρώτης καὶ τρίτης.

Τῆς δὲ πρώτης καὶ τρίτης κοινόν, τὸ τροπῇ τῆς ἐσχάτης εἰς ου κλίνεσθαι. Αἰνείας, Αἰνείου. λόγος, λόγου.

Κοινὰ πρώτης καὶ πέμπτης.

Τῆς δὲ πρώτης καὶ μέχρι τοῦ τῆς πέμπτης κοινόν, τὸ ἀπὸ τῆς εὐθείας τὴν κλητικὴν γίνεσθαι, ἀφαιρέσει τοῦ σ. ὁ Αἰνείας, ὦ αἰνεία. ὁ χαρίεις, ὦ χαρίει.

Κοινὰ δευτέρας καὶ πέμπτης.

Τῆς δὲ δευτέρας καὶ μέχρι τοῦ τῆς πέμπτης κοινόν, τὸ ὁμόφωνον ὅλως ἔχειν τὴν κλητικὴν τῇ εὐθείᾳ. ἡ μαῖα, ὦ μαῖα. ὁ λάχης, ὦ λάχης.

Κοινὰ τρίτης καὶ τετάρτης.

Τῆς δὲ τρίτης καὶ τετάρτης κοινόν, τὸ τὴν δοτικὴν τῶν ἑνικῶν ὁμοφωνεῖν τῇ εὐθείᾳ καὶ αἰτιατικῇ τῶν δυϊκῶν. τῷ λόγῳ, τὼ λόγω. τῷ Μενέλεῳ, τὼ Μενέλεω. Ετι τῶν εὐθεῖαν τῶν πληθυντικῶν προσλήψει τοῦ σ γίνεσθαι δοτικὴν τῶν πληθυντικῶν. οἱ λόγοι, τοῖς λόγοις. οἱ Μενέλεῳ, τοῖς Μενέλεως.

Κοινὰ τρίτης καὶ πέμπτης.

Τῆς δὲ τρίτης καὶ πέμπτης, τὸ ἀπὸ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν δυϊκῶν, γίνεσθαι εἰς οιν τὴν γενικὴν καὶ δοτικὴν τῶν δυϊκῶν. τὼ λόγω, τοῖν λόγοιν. τὼ αἴαντε, τοῖν αἰάντοιν.

ΙΔΙΟΝ ΤΗΣ ΠΡΩΤΗΣ.

Ιδιον δὲ τῆς μὲν πρώτης τὸ τὴν κλητικὴν γίνεσθαι ἐπὶ τῶν ἐχόντων τὸ τ, ἢ ἐθνικῶν ὄντων, οὐ μόνον ἀφαιρέσει τοῦ σ, ἀλλὰ καὶ τροπῇ τοῦ η εἰς α. ὁ προφήτης, ὦ προφῆτα. ὁ πέρσης, ὦ πέρσα. Τῆς αὐτῆς δὲ καὶ τὸ τὴν γενικὴν τοῦ ἑνικοῦ λήγειν εἰς εω, ἔθει Ιώνων. οἰκίτου, οἰκίτεω. πηλείδου, πηλείδεω. ὅθεν παρένθεσει τοῦ α πηλεϊάδεω.

Ιδιον τῆς δευτέρας.

Τῆς δὲ δευτέρας, τὸ προσλήψει τοῦ σ κλίνεσθαι. μαῖα, μαίας. τιμή, τιμῆς. καὶ σώζεσθαι δὴ τὸ α καὶ ἐπὶ γενικῆς καθαρὸν ὄν, ἢ μετὰ τοῦ δ, ἢ τοῦ θ, ἢ τοῦ ρ. μὴ οὕτω δ'

bet, uertitur in α. musa, musæ.

Proprium Tertię.

Tertiæ uero proprium, quod datiuū singularem à genitiuo format in ος. sermonis, sermoni. Rursum, quod uocatiuū in ε finit. o sermo. Item quod ex recto, eodemq; actō duali, fit in οι diphthōgū rectus pluraliū. duo sermones, plures sermones. Deinde, quod ex recto plurali, assumptione quidē σ, datiuus fit pluralis. sermones, sermonibus. Porrò, quod in ας actūs

Proprium Quartę.

Quartæ autem proprium est abiecto σ declinari. Menelaus, Menelai. Item quod rectus pluralis, in uoce conuenit cū datiuo singulari, & nominatiuo duali.

PROPRIVM QVINTAE.

Gtūs. Dtūs. Vintæ uero propriū est, quod genitiuū sing. in ος habet. Aiax, cis. præterea quod datiuū sing. à gtō facit in ι. Aiacis, ci. Rursum, quod actūm à dtō, in α. Aiacē. Siquidē Neptunū, & misturā, & sudorē ex apocope, ut & Apollinē. Præterea quod utūs in his quæ per ντ declinātur incōtracta, ablatiōe gtī ultimæ syllabæ formetur. Aiacis, ò Aiax. uenusti, ò uenuste. Quāq̄ī placēta, & Simois, & his similib. auferēdū est & penu. syl. ν. Simoentis, o Simois. Excipiatur tamē dens, nā huius idem est

εος. uctūs & rectus. In his uero quæ per εος declinātur, & contrahūtur in ους, uctūs à recto fit, mutato η in ε. Demosthe-

ω uel ως. nes, o enes. Rursum ī desinētibus in ω, uel in ως fœmininis, à ntō, mutato finali ω in οι. hæc Latona, o na. & ablatiōe

ηρ uel ευς. σ si fuerit. hic pudor. o dor. Porrò quæ in ηρ, uel ευς desinūt,

ερ neut. quorū neutrū deformatur ī ερ, uctūs à gtō formatur, ablatiōe ultimæ syl. tener, neri, o tener. uenustus, uenusti, o nu

ηρ grauiso. Exceptiōes. ste. Cæterū in ηρ barytōis, fit uctūs in ερ. hæc mater, o mater. Excepto pier. quibus sanè respōdet & inter oxytona. pater, uir, leuir, seruator. Etenim dicimus o pater, uir, leuit, seruator. Præterea quod in qbusdā cōsonet uctūs cū

ευς ας. recto oīno, in quibusdā etiā sine ς proferatur. Nā ī ευς, aut ας, desinentiū & absq; ς cum diphthōgo profertur, nisi qd uetet. Quippe, o pes, & o dens tantum, ne sit eadem uox

cum

ἔχον. τρέπεσθαι εἰς η. μοῦσα μούσης.

Ἴδιον τῆς Τρίτης

Τῆς δὲ τρίτης, τὸ τὴν δοτικὴν τῶν ἑνικῶν, ἀπὸ τῆς γενικῆς γίνεσθαι εἰς ῳ. λόγου, λόγῳ. Ἔτι τὸ τὴν κλητικὴν εἰς ε λήγειν. ὦ λόγε. Ἔτι τὸ ἐκ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν δυϊκῶν, γίνεσθαι εἰς οι δίφθογγον τὴν εὐθεῖαν τῶν πληθυντικῶν. τὼ λόγω, οἱ λόγοι. Ἔτι τὸ ἐκ τῆς εὐθείας τῶν πληθυντικῶν, προσλήψει μὲν τοῦ σ, τὴν δοτικὴν γίνεσθαι τῶν πληθυντικῶν. λόγοι, λόγοις. Εἰς ους τὴν δὲ αἰτιατικήν.

Ἴδιον τῆς Τετάρτης.

Τῆς δὲ τετάρτης ἴδιον, ἐξαιρέσει τοῦ σ, κλίνεσθαι. Μενέλεως, Μενέλεω. καὶ τὸ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ὁμοφωνεῖν τῇ δοτικῇ τῶν ἑνικῶν καὶ τῇ εὐθείᾳ δυϊκῶν.

ΙΔΙΟΝ ΤΗΣ ΠΕΜΠΤΗΣ.

ΤΗς δὲ πέμπτης ἴδιον, τὸ τὴν γενικὴν τῶν ἑνικῶν εἰς ος ἔχειν. Αἴας, Αἴαντος. Ἔτι τὸ τὴν δοτικὴν ἀπὸ τῆς γενικῆς γίνεσθαι εἰς ι. αἴαντος αἴαντι. Ἔτι τὸ τὴν αἰτιατικὴν ἀπὸ τῆς δοτικῆς εἰς α. αἴαντι, αἴαντα. τὸ δὲ Ποσειδῶ, καὶ κυκεῶ. καὶ ἱδρῶ ἐξ ἀποκοπῆς, οἷον καὶ τὸ ἀπόλλω. Ἔτι τὸ τὴν κλητικὴν ἐπὶ μὲν τῶν διὰ τοῦ ντ κλινομένων ἀπαθῶν, ἀφαιρέσει τῆς ἐν τῇ γενικῇ ἐσχάτης συλλαβῆς γίνεσθαι. αἴαντος, ὦ αἶαν. χαρίεντος, ὦ χάριεν. τοῦ μέντοι πλακοῦς, καὶ σιμοῦς καὶ τῶν ὁμοίων ἀφαιρετέον καὶ τὸ τῆς παραληγούσης υ. Σιμοῦντος, ὦ Σιμοῦ. Ἐξαιρείσθω δὲ καὶ τὸ ὀδούς, μία γὰρ τούτου γε κλητικὴ ἡ αὐτὴ τῇ εὐθείᾳ. Ἐπὶ δὲ τῶν τῷ εος κλινομένων καὶ συναιρουμένων εἰς ους, ἀπὸ τῆς εὐθείας, τροπῇ τοῦ η εἰς ε. Δημοσθένης, ὦ Δημόσθενες. Ἐπὶ δὲ τῶν εἰς ω, ἢ εἰς ως θηλυκῶν, ἀπὸ τῆς εὐθείας τροπῇ τοῦ ληκτικοῦ ω εἰς οι. ἡ Λητώ, ὦ Λητοῖ. καὶ ἀφαιρέσει τοῦ σ ἅμα. ἡ αἰδώς, ὦ αἰδοῖ. Ἐπὶ δὲ τῶν εἰς ην, ἢ εἰς ας ληγόντων, ὧν οὐδέτερον παρεσχηματισμένον εἰς εν, τὴν κλητικὴν ἀπὸ τῆς γενικῆς γίνεσθαι, ἀποκοπῇ τῆς ἐσχάτης. τέρην, τέρενος. ὦ τέρεν. χαρίεις, χαρίεντος, ὦ χάριεν. Ἐπὶ δὲ τῶν εἰς ηρ βαρυτόνων, εἰς ερ. ἡ μήτηρ, ὦ μῆτερ. πλὴν τοῦ πίηρ. οἷς δὴ συμφέρεται καὶ τῶν ὀξυτόνων, πατήρ, ἀνήρ, δαήρ, σωτήρ. καὶ γὰρ ὦ πάτερ, ἄνερ, δᾶερ, σῶτερ. Ἔτι τὸ ἐπὶ μὲν τῶν, ὁμοφωνεῖν τὴν κλητικὴν τῇ εὐθείᾳ ὅλως. Ἔτι δὲ τῶν, καὶ χωρὶς τοῦ σ προφέρεσθαι. Τῶν μὲν γὰρ εἰς ευς, ἢ εἰς ους, καὶ χωρὶς τοῦ σ ληγόντων μετὰ διφθόγγου, εἰ μή τι κωλύοι. καὶ γὰρ ὦ πούς, καὶ ὦ ὀδούς μόνως. ἵνα μὴ συνεμ-

πέσῃ τῷ

cũ ubi,& uiæ. Itẽ in appella. in ις barytonis,lõgã natura
ις grauiſ. nõ habẽtibus ultimã,atq; adeò in oĩbus ĩ ις barytõis. hic
υσ. ſerpẽs,o pẽs. Atq; in υσ penac. hic botrus, o tre.præterea
ωσ. ĩ acutis,ſi triũ ſint gen.hic iucũdus,o de. Cæterũ in ma.in
ωσ longã deſinẽtib.utũs ntõ eſt ſimilis nec aliter,atq; id in
oĩbus in ωσ deſinẽtibus.Rurſum ĩ declinatis,aut per οσ pu
ησ grauiſ. rũ,aut per τ, exceptis fœ.oxyt.hic heros, o heros. Et in ησ
barytonorũ Iambicorũ,atq; in totũ oĩm quæ ĩ ησ deſinunt
ασ. & declinãtur per τ. hic Laches, o Laches.Itẽ in as oxyto-
ισ acutiſo· norũ.hæc Pallas,o Pallas.Rurſum in ισ oxytonorũ. hæc
υς acu. Priamis, o priamis. Itẽ in υσ oxytonorũ. hæc chlamys,o
λσ. mys. Itẽ in λσ.hic ſal, o ſal. Præterea in duplicẽ.hic rex,o
Ntũs & rex.Deinde in ĩmutabilẽ.hic grecus, o græce. præter ſupe
ac.dual. rius dicta. Quin & illud eſt propriũ,quod ntũm & accuſ.
dualiũ,à dtõ ſingulariũ faciũt,mutata ι in ε. Aiaci,Aiaces.

Ntũs plur. Præterea, quod ex recto & actõ dualiũ, aſſumpta σ for
Dat.plur. matur ntũs pluraliũ. Aiaces duo uel duos,Aiaces plures.

Itẽ quod dtũs pluraliũ,à dtõ ſingulariũ formatur in σι,
ι purum. uel actu,uel potẽtia. Aiacibus.phœnicibus. Itaq;, ſi purũ
fuerit ſingularis ι, tũ σ aſſumitur. Demoſthenis, enibus. In
nõnullis & υ additur, ut quorũ ntũs in ευσ incõtractũ,uel in
ι non purũ. ουσ.boui,bobus.pelo,leis.Sin in ι nõ purũ,ſiquidẽ τ,uel θ,
uel δ,uel ν adiunctũ fuerit,uertitur in σ,& ν eliditur,ſi τ præ
cedat. Aiaci,ibus. In nõnullis uero & in huius locũ υ aſſu-
mitur,ut quorũ rectus in ων deſinit. leoni,onibus. Quod ſi
alia quæpiã cõſona aut ĩmu. aut tenuis, aut aſpirata,aut
media præter dictas fuerit, σ rurſum aſſumitur. ſali, ſalib.
perdici,cibus.tuſſi, ſſibus. flagello, lis. niſi quod aſpirata
& media in ſibi reſpõdentẽ mutã uel tenuẽ uertitur,& reci
Actũs plu. pitur duplex. Præterea, quod ex actõ ſingul. aſſum-
ptione σ,fit actũs pluralis. Porrò quintæ declinatiõis etiã
ſecundũ contractionẽ, affectiones noĩm ſunt ferè oẽs.

DE CONTRACTIS.

IN octo potiſſimũ formas diuiſorũ contractionẽ reci-
ι, ευ, υ piẽtiũ nominũ, cõe idem oĩm nihil quidẽ eſt. Verũ ι &
ευ & primi υ cõe eſt, quod quatuor tantũ cõtrahũtur ca
ſus in ει,nẽpe dtũs ſingularis, item nomĩatiuus & actũs &
uocatiuus

πρὸς τῷ ποῦ, καὶ ὁ Δοῦ. Καὶ τῶν εἰς ις προσηγορικῶν βαρυτόνων μὴ φύσει μακροκαταλήκτων, καὶ ὅλως τῶν εἰς ις βαρυτόνων. ὁ ὄφις, ὦ ὄφι. Καὶ τῶν εἰς υς βαρυτόνων. ὁ βότρυς, ὦ βότρυ. καὶ τῶν ὀξυτόνων ὄντων δὲ τριγενῶν. ὁ ἡδὺς, ὦ ἡδύ. Τῶν δὲ εἰς ως ἀρσενικῶν μακροκαταλήκτων, ὁμόφωνος τῇ εὐθείᾳ μόνως, καὶ ὅλως τῶν εἰς ως μὲν ληγόντων. Κλινομένων δὲ ἢ τῷ καθαρῷ, ἢ τῷ τ. πλὴν τῶν θηλυκῶν ὀξυτόνων. ὁ ἥρως, ὦ ἥρως. Καὶ τῶν εἰς ης βαρυτόνων, Ιαμβικῶν, καὶ ὅλως τῶν εἰς ης μὲν ληγόντων, κλινομένων δὲ τῷ τ. ὁ λάχης, ὦ λάχης. καὶ τῶν εἰς ας ὀξυτόνων. ἡ Παλλὰς, ὦ Πάλλας. Καὶ τῶν εἰς ις ὀξυτόνων. ἡ Πριαμὶς, ὦ Πριαμίς. καὶ τῶν εἰς υς ὀξυτόνων. ἡ χλαμὺς, ὦ χλαμύς. Καὶ τῶν εἰς λς. ὁ ἅλς, ὦ ἅλς. Καὶ τῶν εἰς διπλοῦν. ὁ ἄναξ, ὦ ἄναξ. Καὶ τῶν εἰς ἀμετάβολον. ὁ ἕλλην, ὦ ἕλλην. Πλὴν τῶν ἀνωτέρω εἰρημένων. Ετι ἴδιον τὸ τὴν εὐθεῖαν, καὶ αἰτιατικὴν τῶν δυϊκῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεσθαι, τροπῇ τοῦ ι εἰς ε. Αἴαντι, Αἴαντε. Ετι τὸ τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν δυϊκῶν, προσλήψει τοῦ σ γίνεσθαι εὐθεῖαν τῶν πληθυντικῶν. Αἴαντε, Αἴαντες. Ετι τὸ τὴν δοτικὴν τῶν πληθυντικῶν ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεσθαι εἰς σι, ἤτοι ἐνεργείᾳ, ἢ δυνάμει. Αἴασι. φοίνιξι. διὸ καὶ εἰ μὲν καθαρὸν τὸ τῆς ἑνικοῦ ι, τὸ σ δὴ προσλαμβάνεται. Δημοσθένει, Δημοσθένεσιν. ἔστι δ᾽ οὖ καὶ τὸ υ, ὡς ἐφ᾽ ὧν ἡ εὐθεῖα εἰς υς ἀπαθὲς, ἢ εἰς ευς. βοΐ, βουσί. πλεῖ, πλεῦσιν. Ει δὲ μὴ καθαρὸν, εἰ μὲν τὸ τ, ἢ τὸ θ, ἢ τὸ δ, ἢ τὸ ν συνέζευκται, τρέπεται εἰς σ, καὶ τὸ ν ἐκβάλλεται, εἰ πρὸ τοῦ τ κεῖται. Αἴαντι, Αἴανσιν. ἔστι δ᾽ οὖ καὶ τὸ υ ἀντιλαμβάνεται, ὡς ἐφ᾽ ὧν ἡ εὐθεῖα εἰς ων. λέοντι, λέουσιν. Ει δὲ τι ἕτερον, ἢ ἀμετάβολον, ἢ ψιλὸν, ἢ δασὺ, ἢ μέσον παρὰ τὰ εἰρημένα, τὸ σ πάλιν προσλαμβάνεται. ἁλὶ, ἁλσί. πέρδικι, πέρδιξι. βηχὶ, βηξί. μάστιγι, μάστιξι. πλὴν ὅσον τὸ δασὺ καὶ μέσον εἰς τὸ ἀντιστοιχοῦν ψιλὸν τρέπεται, καὶ μεταλαμβάνεται τὸ διπλοῦν. Ετι τὸ τὴν αἰτιατικὴν τῶν ἑνικῶν, προσλήψει τοῦ σ, γίνεσθαι αἰτιατικὴν τῶν πληθυντικῶν. Ιδια δὲ τῆς πέμπτης, καὶ τὰ κατὰ συναίρεσιν πάθη τῶν ὀνομάτων, σχεδόν τι ἅπαντα.

ΠΕΡΙ ΣΥΝΗΡΗΜΕΝΩΝ.

Εἰς ὀκτὼ δὲ μάλιστα διῃρημένων, τῶν συναίρεσιν ἐπιδεχομένων ὀνομάτων, κοινὸν μὲν ἁπάντων ἕν, ὃ δὲ ἕν ἐστι. Τῶν δὲ ι καὶ ευ καὶ πρώτου υ κοινὸν, τὸ τέσσαρας μόνας συναιρεῖσθαι πτώσεις εἰς α, οἷον τὴν δοτικὴν τῶν ἑνικῶν, καὶ τὴν εὐθεῖαν, καὶ αἰτιατικὴν, καὶ

uctũs pluraliũ, exceptis neutris. Cõc his & illud & ο bre-ue genitiui in ω lõgũ uertere Attice, nisi quæ sunt primi υ. Nã in uniuersũm Attici casus in ος purũ desinẽtes, tũ obliquos, tum rectos, mutato ο breui in ω longũ, & penult. uocali α siue ε, uersa in ι, pferre cõsueuerũt. Menelaus, laus. serpentis, tis. Spectantiũ uero ad ε, ι, ο, & α, cõe est, quod in oĩbus cõtrahũtur, nisi sicubi neutrũ genus uetat, & quod genitiui pluraliũ cõtrahũt in ω. Differũt aũt quod quæ ad ε, ι, ο, spectãt, cõtrahũt in ȣ, ει, ε, οι. Quæ uero ad α, in ω α. Propriũ autẽ ω sing. tantũ cõtrahi, dualia uero & pluralia incõtracta declinari secundũ tertiã decli. Eiusdẽ autẽ sunt cõtractiones, & quod sing. actũs cõparatiuorũ cõtrahitur in ω more Attico. meliorẽ, meliorẽ. eliso uidelicet ν, & cõflatis ο & α, in ω. Præterea quod rectus & actũs pluralis in ες cõtrahitur. hi meliores, res. hos meliores, res. Et quod aliqua in ις per δ declinata, tũ in recto, tũ in actõ plurali contrahuntur. hæ tabes, has tabes. hæ oues, has oues. Atticũ nempe & hoc. Et itẽ illud, qđ à noĩbus in ευς & ιυς puru uenientes actĩ, cõtrahũtur in α. sanũ, sanũ. piræũ, piræũ. Ionicũ uero, quod in hmõi nominibus eliditur δ. Paridis, Thetidis. Præterea quod in per τ declinatis, & τ abijcitur. carnis, carnis. Itẽ qoud quæ habẽt ι & ιυ, declinãtur per ε & ε. ciuitatis, regis. Præterea quod horũ nominũ etiã singularis actũs ablata etiam ultima & recepto ν formetur. Parida, Parin. iram, iram. Idem fit in his, quæ habẽt ι. serpentẽ, tem. & in utroq; υ. iucundum, um. botrũ, botrũ.

ος purum Attice.

Ntũs & actũs plur.

DE SYNCOPEN PATIENTIBVS.

Patiuntur aũt desinẽtia in ηρ aliqua syncopen. ut uir, pater, mater. nã faciũt uiri & uiri. patris & patris. matris & matris. atq; itẽ in cæteris casibus, nisi qđ uetet. Et sanè pluralis datiuus hoꝝ formatur quidẽ à singulari, quẽadmodũ in alijs, sed aut ad syncopẽ iã passio, interposito α. ut patri, patribus. aut à nondũ passo etiã, translato & uerso ε in α. patri, patribus, & uiro, uiris. At dictum est apud poëtã, & uiris. Iam nauigatio & mens, aliaq; id genus, nõ sunt cõtractionis quintæ, sed tertiæ. Veniũt enim à nauigatio & mens. Ideo præstiterit declinare per tertiã.

De hete-

καὶ κλητικὴν τῶν πληθυντικῶν. πλὴν τῶν οὐδετέρων. Κοινὸν δὲ τούτων καὶ τὸ εἰς μακρὸν τὸ τῆς γενικῆς βραχὺ ο μεταβάλλειν Ἀττικῶς. πλὴν τῶν πρώτου υ. καθόλου γὰρ οἱ Ἀττικοί, τὰς εἰς ος καθαρὸν λήγουσας, πλαγίους τε καὶ ὀρθάς, τροπῇ τοῦ βραχέος ο εἰς τὸ μακρόν, καὶ τοῦ παραλήγοντος φωνήεντος α, ἢ ι, εἰς ε, προφέρειν εἰώθασιν. Μενέλαος, Μενέλεως. ὄφιος, ὄφεως. Τῶν δὲ η, ε, ο, καὶ α, κοινὸν μὲν τό τε δι' ὅλου συναιρεῖσθαι. πλὴν εἴπου τὸ οὐδέτερον κωλύοι. καὶ τὸ τὰς γενικὰς τῶν πληθυντικῶν συναιρεῖσθαι εἰς ω. Διαφέρει δ' ἢ τὰ μὲν η, ε, ο, συναιρεῖται εἰς ου, ει, η, οι. τὰ δὲ α, εἰς α, α. Ἴδιον δὲ τῷ ω τὸ τὰ ἑνικὰ μόνον συναιρεῖσθαι. τὰ δὲ δυϊκὰ καὶ πληθυντικὰ ἀσυναίρετα κλίνεται κατὰ τὴν τρίτην. Τῆς αὐτῆς δὲ πάθης, καὶ τὸ τὴν ἑνικὴν αἰτιατικὴν τῶν συγκριτικῶν συναιρεῖσθαι εἰς ω Ἀττικῶς. ἀμείνονα, ἀμείνω. ἐξαιρέσει δηλονότι τοῦ ν. καὶ κράσει τοῦ ο καὶ α εἰς ω. καὶ ἔτι τὴν εὐθεῖαν καὶ αἰτιατικὴν τῶν πληθυντικῶν, εἰς ους. ἀμείνονες, ἀμείνους. ἀμείνονας, ἀμείνους. καὶ τὸ ἔνια τῶν εἰς ις τῷ δ κλινομένων, ἐπί τε εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν συναιρεῖσθαι. φθοΐδες, φθοῖς. φθοΐδας, φθοῖς. ὀΐδες, οἶς. ὀΐδας, οἶς. Ἀττικὸν δὲ καὶ τοῦτο. καὶ ἔτι τὸ τὰς ἀπὸ τῶν εἰς ης, καὶ εἰς ευς καθαρῶν αἰτιατικάς, συναιρεῖν εἰς α. ὑγιέα, ὑγιᾶ. πειραιέα, πειραιᾶ. Ἰώνων δὲ ἡ περὶ τὰ τοιαῦτα τῶν ὀνομάτων ἐξαίρεσις τοῦ δ. Πάριος, Θέτιος. καὶ ἡ περὶ τὰ τῷ τ κλινόμενα ἐξαίρεσις τοῦ τ. κρέατος, κρέαος. Καὶ τὸ τὰ ι καὶ ευ, κλίνεσθαι τῷ ε καὶ η. πόλεος, βασιλῆος. τῶν αὐτῶν δὲ τούτων ὀνομάτων καὶ τὸ τὴν ἑνικῶν αἰτιατικήν, ἀφαιρέσει τῆς ἐσχάτης, καὶ μεταλήψει τοῦ ν γίνεσθαι. Πάριδα, Πάριν. μήνιδα, μῆνιν. καὶ ἔτι τῶν καλουμένων ι. ὄφια, ὄφιν. καὶ τῶν υ ἑκατέρων. ἡδέα, ἡδύν. βότρυα, βότρυν.

ΠΕΡΙ ΤΩΝ ΣΥΓΚΟΠΗΝ ΠΑΣΧΟΝΤΩΝ

Πάσχει δὲ καὶ τῶν εἰς ηρ ἔνια συγκοπήν. οἷον τὸ ἀνήρ, πατήρ, μήτηρ. ἀνέρος γὰρ καὶ ἀνδρός, πατέρος καὶ πατρός. μητέρος καὶ μητρός. κἀπὶ τῶν ἄλλων ὡσαύτως πτώσεων, εἰ μή τι κωλύοι. Καὶ ἡ τοῦ πληθυντικοῦ δὲ δοτικὴ τούτων, γίνεται μὲν ἀπὸ τῆς τῶν ἑνικῶν, καθάπερ καὶ ἡ τῶν ἄλλων, ἤτοι δὲ ἀπὸ πεπονθυίας ἤδη, παρενθέσει τοῦ α. οἷον πατρί, πατράσιν. ἢ ἀπὸ ἀπαθοῦς ἔτι, μεταθέσει καὶ τροπῇ τοῦ ε. πατέρι, πατράσιν. καὶ ἀνέρι, ἀνδράσιν. εἴρηται δὲ τῷ ποιητῇ καὶ ἄνδρεσσι. Τό γε μὴν πλοῦς καὶ νοῦς καὶ τὰ τοιαῦτα, οὐ πάθη τῆς πέμπτης, ἀλλὰ τῆς τρίτης. ἀπὸ γὰρ τοῦ πλόος καὶ νόος. Διὸ καὶ βέλτιον κλίνειν κατὰ τὴν τρίτην. νοῦς νοῦ.

DE HETEROCLITIS.

SVnt aũt & nõia, quæ nõ propriã & æquabilem seruãt inflexionẽ, sed uarie declinantur, unde & heteroclita uocãtur. ut Iuppiter, nec enim Iuppitris, sed Iouis accõmodatũ in aliã uocẽ facit. Itẽ magnus, nõ magni facit, sed magni. Rursũ multus, neq; enim multi facit in soluta oratione, sed multi. Itẽ ab his uenĩetia neutra. magnum, gni. multũ, ti. Etiã puteus, & hepar, & esca, & aqua. non putei, hepatis, escæ, aquæ. sed putei, hepatis, escæ, aquæ. Formã uero in his ac regulam certam nõ est reperire, sed solum usus obseruandus. Rursum quædam alia Apocopen uel aliud quid passa, indeclinabilia sunt. ut domus, ordeũ, & pinguedo, & caro. Non passa uero indeclinab. decus, utilitas, somnũ, corpus. Atq; in summa. Desin. in ας neu. non purũ habentia ας. iubar, poculum, statua.

Iuppiter. *Magnus.* *Multus.* *Indeclinabilia.*

DE VERBO.



VErbum autẽ diuisum est quidẽ prius, & quæ accidentia habet, declaratum.

COMMVNIA q̃tuor cõiugationũ.

Cum uero inflexiones uerbi quinq; sint, quas cõiugationes uocamus, quatuor quidem in ω desinentium uerborum, una uero terminatorum in μι.

Formationes ACTIVORVM temporũ.

Cõmune quatuor primarũ est, quod in ĩdicatiuo actiuo, præteritũ imperfectũ fit à præsenti, mutatione quidẽ ultimæ in ον, & augmẽto addito uel syllabæ uel tẽporis. Generaliter si à cõsonãte quidẽ uerbũ incipit, augmentũ fit syllabicũ assumptiõe ε in initio. ut uerbero, uerberabã. Si uero à uocali, tẽporale erit, mutata uidelicet breui primaria uocali in longã. ut diligo, diligebã. Nisi sanè fregi, syllabico figuratũ est augmẽto, & fractus eram, & captus erã, atq; hmõi. Nã in his ne hõc quidẽ fuerit perpetuum.

Præte. ĩpe. *Augmẽtum syllabicum.* *temporale.*

Futurum Primum.

Præterea, quod primũ fut. in ω desinit, & idẽ principiũ habet, cũ præsenti, atq; ante ω retinet σ, siue actu. audio, audiã. siue potẽtia. uerbero, bo. dẽpta quarta, idq; ex usu. Q̃nquidẽ quo ad naturã & hęc σ recipit. unde moueo, bo. & traho,

σ ante ω

ΠΕΡΙ ΕΤΕΡΟΚΛΙΤΩΝ.

Præ.imper. INdicatiuum,pono. Ptm̃ imper.ponebam.Imperatiuũ,pone.Optatiuum,ponerem.Subiunctiuũ, si ponã.Infinit.ponere. Indefinitũ primũ.Indica.posui,& alia ut in uerberaui. Indef.secundũ.Indi a.posui.Impera.pone & pone. Optatiuum,posuissem. Subiunctiuũ, si posuero.Infinitiuum posuisse.

Indefini.1.

Indefini.2.

Media & passiua.præsens.

Præ.imper. INdicatiuũ ponor. Præte.imper.ponebar.Imperati. ponere, & ponere. Optatiuũ, ponerer. Subiunctiuũ, si ponar.Infinitiuũ,poni.Indefinitũ secundũ. Indicatiuũ,positus sum.Imperati.positus esto.Optat.positus essem.Subiunctiuũ,si positus ero.Inde.positũ esse. Prętę.

Indefini.2.

Præt.perfe. perfe.Indicat.positus sum.Præte.plusq̃perfe.tus erã.Im

Præt.plusq̃. pera.positus esto.Optatiuũ, positus fuissem.Subiunctiuum si positus fuero.Infinitiuum ,positum esse. Indefinitiuum primũ. Indica, positus sum. Imperatiuũ,tus esto.

Indefi.1.

Futu.1. Opta. positus essem. Subiun.si positus ero.Infiniti. tum esse. Futurũ pri.Indicat. ponar.Optati.ponendus sim.

Moxfutu. Infinitiuum ponendum esse.Mox futurũ. Indica. ponar, & reliqua ut in uerberabor.

COMMVNIA OMNIVM MODORVM.

COmmune aũt oĩbus modis,qđ augmẽtũ originis abijciunt,excepto prętę.perf.uerberabã, uerbera, aui,rato,uerberassem,si rauero,rasse.At uerberaui, facit rato,rassem,si rauerim.rasse. Præte. autẽ imperfe. p̃nti cõiungitur,& ptm̃ plusq̃per.præte.perfe. Vnde quę ab alterutris horum formatiões fiunt,cõem cũ alteris habent significationẽ. Cęterũ liquet quod futuri formatio, neq; in Imperatiuo est,neq; in Subiuncti. Porrò significatio huius est in his,qua formant à.1.Indefini.

Præ.imper.

Formationes imperatiuorũ Actiuorum.

FIt autem uerborum in ω actiuorum, imperatiuũ quidem à tertia persona proprij thematis. uerberabat, bera,rauit, uerberato. Tametsi primũ Indefini. etiã ultima mutata in οι fit.uerberauit,uerberato.

Optati:

ΤΑ ΕΙΣ ΜΙ ΕΝΕΡΓΗΤΙΚΑ ΕΝΕΣΤΩΣ.

Τὸ Ὁριστικὸν, τίθημι. Παρατατικὸς, ἐτίθην. Τὸ Προστακτικὸν, τίθετι. Τὸ Εὐκτικὸν, τιθείην. Τὸ Ὑποτακτικὸν, ἐὰν τιθῶ. Τὸ Ἀπαρέμφατον, τιθέναι. Ἀόριστος α. Τὸ Ὁριστικὸν, ἔθηκα, καὶ τἆλλα ὡς ἀπὸ τοῦ ἔτυψα. Ἀόριστος β. Τὸ Ὁριστικὸν, ἔθην. Τὸ Προστακτικὸν, θέτι καὶ θές. Τὸ Εὐκτικὸν, θείην. Τὸ Ὑποτακτικὸν, ἐὰν θῶ. Τὸ Ἀπαρέμφατον, θεῖναι.

Μέσα καὶ παθητικὰ ἐνεστώς.

Τὸ Ὁριστικὸν, τίθεμαι. Παρατατικὸς, ἐτιθέμην. Τὸ Προστακτικὸν, τίθεσο καὶ τίθου. Τὸ Εὐκτικὸν, τιθείμην. Τὸ Ὑποτακτικὸν, ἐὰν τιθῶμαι. Τὸ Ἀπαρέμφατον, τίθεσθαι. Ἀόριστος δεύτερος. Τὸ Ὁριστικὸν, ἐθέμην. Τὸ Προστακτικὸν θέσο καὶ θοῦ. Τὸ Εὐκτικὸν, θείμην. Τὸ Ὑποτακτικὸν, ἐὰν θῶμαι. Τὸ Ἀπαρέμφατον, θέσθαι. Παρακείμενος. Τὸ Ὁριστικὸν, τέθειμαι. Ὑπερσυντέλικος, ἐτεθείμην. Τὸ Προστακτικὸν, τέθεισο. Τὸ Εὐκτικὸν, τεθείμην. Τὸ Ὑποτακτικὸν, ἐὰν τεθῶμαι. Τὸ Ἀπαρέμφατον, τεθεῖσθαι. Ἀόριστος α. Τὸ Ὁριστικὸν, ἐτέθην. Τὸ Προστακτικὸν, τέθητι. Τὸ Εὐκτικὸν, τεθείην. Τὸ Ὑποτακτικὸν, ἐὰν τεθῶ. Τὸ Ἀπαρέμφατον, τεθῆναι. Μέλλων α. Τὸ Ὁριστικὸν, τεθήσομαι. Τὸ Εὐκτικὸν, τεθησοίμην. Τὸ Ἀπαρέμφατον, τεθήσεσθαι. Μετ' ὀλίγον μέλλων. Τὸ Ὁριστικὸν, τεθείσομαι, καὶ τἆλλα ὡς ἀπὸ τοῦ τετύψομαι.

ΚΟΙΝΑ ΑΠΑΣΩΝ ΤΩΝ ΕΓΚΛΙΣΕΩΝ.

Κοινὸν δὲ ἁπασῶν τῶν ἐγκλίσεων, τὸ τὴν αὔξησιν τῆς ἀρχῆς ἐξαιρεῖσθαι, πλὴν τοῦ παρακειμένου. ἔτυπτον, τύπτε, ἔτυψα, τύψον, τύψαιμι, ἐὰν τύψω, τύψαι. Τέτυφα, γεμὴν, τέτυφε, τετύφοιμι, ἐὰν τετύφω, τετυφέναι. Ὁ δὲ παρατατικὸς τῷ ἐνεστῶτι συνέζευκται, καὶ ὁ Ὑπερσυντέλικος τῷ παρακειμένῳ, ὥς τε τοὺς ἀπὸ θατέρων τούτων σχηματισμοὺς κοινὴν καὶ πρὸς θατέρους ἔχειν τὴν σημασίαν. Δῆλον δ' ὅτι καὶ ὁ μέλλοντος παρασχηματισμὸς, οὔτε προστακτικὸς ἐστιν, οὔτε ὑποτακτικός. Σημασία δὲ τούτου ἐν τοῖς ἀπὸ τῶν ἀορίστων.

Σχηματισμοὶ τῶν προστακτικῶν Ἐνεργητικῶν.

Γίνεται δὲ τῶν εἰς ω ἐνεργητικῶν, τὸ μὲν προστακτικὸν ἀπὸ τοῦ τρίτου προσώπου τῆς οἰκείας ἀρχῆς. ἔτυπτε, τύπτε, τέτυφε, τέτυφε. ὅγε μὴν πρῶτος ἀόριστος καὶ τῆς ἐσχάτης μετασχηματίσει εἰς ον γίνεται. ἔτυψε, τύψον.

Optatiuorum.

Optatiua uero à participiali genitiuo, mutatione ultimæ in μι, & elisione inflexiuæ ν, atque assumptione ι in diphth. aut etiam uersa diph. ου in οι. in quibus penultima fuerit. uerberantis, uerberē. eius qui rauit, uerberassem. eius qui rauit, rassem. eius q rauit, rassem. raturi, turus essem. Cæterū cōtractorū opta. cōuersiōe μι in ην Aeolice pferunt, ut dictū est pri⁹. digner, ner. Nā digner & uiuā, Dori ca sunt, conuersa οι in ω. Aeolica uero, & rasses, sset, ssent.

ἀξιοίην Aeolicum, ἀξιώην Doric.

Subiunctiuorum.

Subiunctiua uero fiunt à prima persona suę originis, uersa ultima in ω. uerberabā, si uerberē. uerberaui, si uerberauero. uerberaui, si uerberauerim.

Infinitiuorum.

Infinitiua uero pñtis qdem tēporis & futuri primi à tertia persona fiūt suæ originis, addito ν. uerberat, rare. uerberabit, turū esse. Itē pte. perfe. ab eadē, addita ναι. uerberauit, rasse. Cæterū Indefiniti pri. à prima, addito ι. uerberaui, rasse. Rursum secūdi ab eadē, mutata ultima in ῆν. uerberaui, uerberasse. Eadem sanè est formatio & secūdi futuri, nēpe mutatiōe ultimę in ῆν. uerberabo, turū esse.

Præt. perfe. Indefini. 1. Indefini. 2.

MEDIORVM FORMATIONES.

Media aūt Imperatiua, præteriti qdē imper. & secūdi indefi. à secūda sui thematis. uerberabaris, rare. ratus es, rare. Cęterū primi Indefi. à prima, elisiōe μην, & addito ι. uerberaui, rato. aut si quo alio mō hīc fieri possit accōmodatius. Pręt. perf. ita ut in Indica. imperatiua formanẗ.

Indefini. 1. Præteritum perfectum.

Optatiuorū.

Porrò optatiua à prima persona originis, uersa ultima in μην, & ante μην ι ad formationē diphthongi assumpta. uerberor, uerberarer. uerberaui, uerberauissem. Excepto ptō perfe. Nam hoc itidem ut in actiuo fit.

Subiunctiuorum.

Subiunctiua uero funt à prima in μαι, sed penultima originalium, in quibus est μ inflexiua, mutata in ω. uerberor, si uerberer. uerberaui, si uerberauero.

Infiniti-

Εὐκτικῶν.

Τὰ δὲ εὐκτικὰ ἀπὸ τῆς μετοχῆς γενικῆς μεταποιήσει τῆς ἐσχάτης εἰς μι, καὶ ἐξαιρέσει τοῦ κλιτικοῦ ν, καὶ προσλήψει τοῦ ι εἰς δίφθογγον, ἢ καὶ τροπῇ τῆς ου εἰς οι, ἐν οἷς παραλήγουσα ὑπάρχει. τύπτοντος, τύπτοιμι. τύψαντος, τύψαιμι. τετυφότος, τετύφοιμι. τυπόντος, τύποιμι. τυποῦντος, τυποῖμι. Τῶν δὲ συνηρημένων τὰ εὐκτικά, καὶ τροπῇ τῆς μι εἰς ην Αἰολικῶς λέγεται, ὡς εἴρηται πρότερον. ἀξιοῖμι, ἀξιοίην. Τὸ δὲ ἀξιῴην καὶ βιῴην Δωρικόν, τροπῇ τῆς οι εἰς ῳ. Αἰολικὸν δὲ καὶ τὸ τύψειας, τύψειε, τύψειαν.

Τῶν Ὑποτακτικῶν.

Τὰ δὲ ὑποτακτικά, ἀπὸ τοῦ πρώτου προσώπου τῶν ἰδίων ἀρχῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς ω. ἔτυπτον, ἐὰν τύπτω. ἔτυψα, ἐὰν τύψω. τέτυφα, ἐὰν τετύφω.

Τῶν Απαρεμφάτων.

Τὰ δὲ ἀπαρέμφατα ἐνεστῶτος μὲν, ὄντα καὶ μέλλοντος πρώτου, ἀπὸ τοῦ τρίτου προσώπου τῆς ἀρχῆς, προσθέσει τοῦ ν. τύπτε, τύπτειν. τύψε, τύψειν. Καὶ παρακειμένου ἀπὸ τοῦ αὐτοῦ προσθέσει τῆς ναι. τέτυφε, τετυφέναι. Αόριστος δὲ πρώτου ἀπὸ τοῦ πρώτου, προσθέσει τοῦ ι. ἔτυψα, τύψαι. Καὶ δευτέρου δὲ ἀπὸ τοῦ αὐτοῦ, μεταποιήσει τῆς ἐσχάτης εἰς ειν. ἔτυπον, τυπεῖν. ὁ αὐτὸς δ' ἄρα τρόπος καὶ τοῦ δευτέρου μέλλοντος, μεταποιήσει τῆς ἐσχάτης εἰς εῖν. τυπῶ, τυπεῖν.

ΤΩΝ ΜΕΣΩΝ.

ΤΑ δὲ μέσα προστακτικά, τοῦ μὲν παρατατικοῦ καὶ δευτέρου ἀορίστου, ἀπὸ τοῦ δευτέρου τῆς ἀρχῆς. ἐτύπτου, τύπτου. ἐτύπου, τυποῦ. Τὸ δὲ πρώτου Αορίστου, ἀπὸ τοῦ πρώτου, ἐξαιρέσει τῆς μην, καὶ προσθέσει τοῦ ι. ἐτυψάμην, τύψαι. ἢ ὅπως ἂν ἄλλως ἐντεῦθεν γίνοιτο οἰκειότερον. Τοῦ δὲ Παρακειμένου, ὁμοίως τῷ ἐνεργητικῷ.

Εὐκτικῶν.

Τὰ δὲ εὐκτικά, ἀπὸ τοῦ α τῆς ἀρχῆς, τροπῇ τῆς ἐσχάτης εἰς μην, καὶ πρὸ τῆς μην τοῦ ι, εἰς δίφθογγον προσλαμβανομένου. τύπτομαι, τυπτοίμην. ἐτυψάμην, τυψαίμην. Πλὴν τοῦ παρακειμένου, ὅδε γὰρ ὁμοίως τῷ ἐνεργητικῷ.

Ὑποτακτικῶν.

Τὰ δὲ ὑποτακτικά, ἀπὸ τοῦ πρώτου εἰς μαι, τῆς παραληγούσης τῶν ἀρχῶν, ἐφ' ὧν τὸ μ κλιτικόν, μεταβαλλούσης εἰς ω. τύπτομαι, ἐὰν τύπτωμαι. ἐτυψάμην, ἐὰν τύψωμαι.

INFINITIVORVM.

Infinitiua aūt à tertia perſona originis, mutata ultima in θαι. uerberatur, uerberari. rauit, raſſe. Dempto pter. perfecto, quod ſanè congruit cum actiuo.

PASSIVORVM IMPERATIVORVM.

Inde.1.& .1. Paſſiua imperati. pñtis qdē itidē fiunt, uti in medijs. Indefinitorū uero amborū à tertia, aſſumptiōe θι. ratus eſt, rare. In qb⁹ tñ eadē aſpirata pcedit, nō θ, ſed τ aſſumere cōtingit. uerberatus ſum, tus eſto. ob incōmo

Præte.plus. ditatē uocis. Præ. aūt plusq̃. à ſecūda. tus fueras, tus eſto.

Optatiuorum.

Cęterū optatiua pñtis quidē & futuri ſimiliter fiunt, ut in medijs: uerū in ptō perfe. nō itē, ſi conſonās fuerit añ μ. ſin min⁹ fuerit, nec ulla diphthong⁹ impediat, aſſumpto ι in diphthongū cum penultimæ ſyllabæ uocali, optatiuū

Indefinit. fit. factus eſſem. memor eſſem. Indefinitū autē à participiali gtō, mutatione ultimæ in ιν, & eliſione inflexiuæ ν, atq; aſſumptione ι in diphth. uerberati, beratus eſſem.

Subiunctiuorum.

At ſubiunctiua pñtis modo ut in medijs fiūt cōſimili.

Indefini. Indefinitorum uero à tertia uerbi originalis, mutata fina

Præt.perfe. li uocali in ω. uerberat⁹ eſt, ſi rat⁹ fuero. Præte. uero pref. ſubiunctiuū fieri poſſit, ſi μ purū habeat, ut dictum eſt, & diphthongus nō uetet, cōuerſa penult. uocali in ω. factus ſum, ſi factus ſim. memini, ſi memor fuerim.

Infinitiuorum.

Infinitiua aūt præſentis & futuri tēporis itidē fiunt uti

Præt.perf. in medijs. Quin & pte. perfe. cōſimilis eſt formatio, niſi qđ σ nō aſſumitur. Nam à uerberat⁹ eſt, ueuit ratū fuiſſe,

Regula gene. uerſa ſ. priore tenui in aſpiratā. Gñale ſiqdē eſt qđ tenues

Indefi. pcedāt tenues, atq; aſpira. aſpiratas. Indefi. aūt fiūt à prima perſo. originis, addito αι finali. uerberat⁹ ſum, tū eſſe.

IN MI ACTIVORVM. IMPERATIVORVM.

Poſterius è duobus θ. cedit ī τ. Porrò uerborū in μι actiua quidē imperatiua à participiali fiūt genitiuo, eliſo inflexiuo ν, & mutata ſyll. ultima in θι. ponētis, pone. ſtatuētis, ſtatue. dātis, da. Siue à ſecunda indefinitorū, cōuerſione ultimæ uocalis

Ἀπαρεμφάτων.

Τὰ δὲ ἀπαρέμφατα, ἀπὸ τοῦ γ τῆς ἀρχῆς, μεταποιήσει τῆς ἐσχάτης εἰς σθαι. τύπτεται, τύψεσθαι. ἐτύψατο, τύψασθαι. Πλὴν τοῦ παρακειμένου. οὐδὲ γὰρ ὁμοίως τῷ ἐνεργητικῷ.

ΠΑΘΗΤΙΚΩΝ ΠΡΟΣΤΑΚΤΙΚΩΝ.

ΤΑ δὲ παθητικά, τοῦ μὲν ἐνεστῶτος ὁμοίως καὶ ἐπὶ τῶν μέσων. Τῶν δ' ἀορίστων ἀμφοτέρων, ἀπὸ τοῦ τρίτου, προσλήψει τῆς θι, ἐτύπη, τύπηθι. ἐφ' ὧν γε μὴν τὸ αὐτὸ δασὺ ἡγεῖται, οὐ τὸ θ, ἀλλὰ τὸ τ προσλαμβάνεσθαι συμβαίνει. ἐτύφθην, τύφθητι. διὰ τὸ δύσφωνον. Τοῦ δὲ ὑπερσυντελίκου ἀπὸ τοῦ β. ἐτέτυψο, τέτυψο.

Εὐκτικῶν.

Τὰ δὲ εὐκτικὰ ἐνεστῶτος μὲν, καὶ μέλλοντος ὁμοίως καὶ ἐπὶ τῶν μέσων, παρακειμένου δὲ οὐκ ἔτι, ἐὰν σύμφωνον ᾖ πρὸ τοῦ μ. μὴ ὄντος δὲ, καὶ διφθόγγου μηδεμιᾶς κωλυούσης, προσλήψει τοῦ ι εἰς ἀποδιφθόγγωσιν τοῦ παραλήγοντος φωνήεντος, τὸ εὐκτικὸν γίνεται. πεποιήμην, μεμνήμην. Ἀόριστος δὲ ἀπὸ τῆς μετοχικῆς γενικῆς, μεταποιήσει τῆς ληγούσης εἰς ην, καὶ ἐξαιρέσει τοῦ κλιτικοῦ ν, καὶ μεταλήψει τοῦ ι εἰς δίφθογγον. τυφθέντος, τυφθείην.

Ὑποτακτικῶν.

Τὰ δὲ ὑποτακτικὰ ἐνεστῶτος μὲν, τοῖς μέσοις ὁμοίως. Ἀορίστων δὲ ἀπὸ τοῦ τρίτου τῆς ἀρχῆς, μεταποιήσει τοῦ ληκτικοῦ φωνήεντος εἰς ω. ἐτύφθη, ἐὰν τυφθῶ. Καὶ παρακειμένου δὲ ὑποτακτικὸν γίνοιτ' ἄν, ἐὰν τὸ μ καθαρὸν ἔχῃ, ὡς εἴρηται, καὶ δίφθογγος οὐ κωλύῃ, τροπῇ τοῦ παραλήγοντος φωνήεντος εἰς ω. πεποίημαι, πεποιῶμαι. μέμνημαι, μεμνῶμαι,

Ἀπαρεμφάτων.

Τὰ δὲ ἀπαρέμφατα ἐνεστῶτος καὶ μέλλοντος, ὁμοίως κἀπὶ τῶν μέσων. Καὶ παρακειμένου δὲ ὅμοιος ὁ σχηματισμός. πλὴν ὅσον τὸ σ οὐ προσλαμβάνεται. Τέτυπται γὰρ, τετύφθαι, μεταβολῇ δηλονότι καὶ τοῦ ἡγουμένου ψιλοῦ εἰς δασύ. Καθόλου γὰρ τὰ μὲν ψιλὰ ἡγεῖται ψιλῶν, τὰ δὲ δασέα δασέων. Ἀορίστων δὲ, ἀπὸ τοῦ πρώτου τῆς ἀρχῆς, προσθέσει τοῦ αι τελικοῦ. ἐτύφθην, τυφθῆναι.

ΤΩΝ ΕΙΣ ΜΙ ἐνεργητικῶν προσταντικῶν.

ΤΩν δὲ εἰς μι, τὰ μὲν ἐνεργητικὰ προσταντικά, ἀπὸ τῆς μετοχικῆς γενικῆς, ἐξαιρέσει τοῦ κλιτικοῦ ν, καὶ μεταποιήσει τῆς ἐσχάτης εἰς θι. τιθέντος, τίθεθι. ἱστάντος, ἵσταθι. διδόντος, δίδοθι. ἢ ἀπὸ τοῦ β. τῶν ὁριστικῶν, τροπῇ τοῦ τῆς ληγούσης φωνήεντος

in penul.originis.pono,posuisti,pone.do,dedisti, da.

Subiunctiuorum.

Subiunctiua fiunt itidem ut in passiuis indefinitis uerborum in ω.ponebat, si ponam.Cęterum det in tertia, & det poëtica sunt ad exēplar tertiæ singu. Huiusmodi autē & hæc.ponam,statuam,dem.Nam q̄ monosyllaba sunt, ac circumflexa.ponā,statuam,dem. dissyllaba & baryt. poëtæ faciūt,interponētes apte hmōi syllabas. Singulis enim propriā uoca.originalem producendo addunt.

δῶσιν, δώησι Poëtica.

Optatiuorum.

Optatiua item eodē modo ut in passiuorū optatiuis.

Infinitiuorum.

Infinitiua quoq̧ p̄sentis tēporis à participiali genitiuo formantur, eliso inflexiuo ν,& mutata syllaba ultima in ναι.ponentis,ponere.dantis,dare.Cęterum dare per poëticam licentiam dictum est.

Impera.actiuorum formationes.

Media uero & passiua similiter ut in uerbis in ω. Formæ igitur figurādi inflexionē personarū iuxta modos, sunt huiusmodi. Imperatiuorū acti.tertia perso.singularis à propria fit secūda,addito τω.uerbera,rato.p̄ter desinentia in θι.Siquidē ea non additione,sed mutatione ultimæ ad eundē formanť modū. pone, ponat. uerberatus esto,tus sit.At primi indefiniti,etiā mutatione ultimę sub iunctiui in α ubiq̧.berato tu,to ille. Dualiū uero secūda à secūda fit singulari assumptiōe τον.uerbera, ate,d. Tertia rursum à tertia addito ν.uerberet, rent d. Pluraliū uero secunda à secunda quidē singulariū, assumpto τε. uerbera, rate. uerberato, tote. & mutato ον in α, ut dictum est. Porrò tertia, addito σαν.ut uerberet,rent. Cæterum uerberent pro uerberent per Syncopen uidetur factum esse, & per conuersionem ultimæ in longam,quod tertiæ pluralium in ultima τ habentes, longam utcunq̧ penul. habent.Excipiatur antē Ionicū,uerberati sunt. Similis & uerberentur illi,pro uerberentur illi,formatio fuerit.

2. Dualis. 2. Pluralis

τυπόντων pro τυπέτωσαν.

MEDIORVM

ὰς τὸ παρακλητικὸν τῆς ἀρχῆς. τιθέω, ἔθης, θές. διδόω, ἔδως, δός.

Ὑποτακτικῶν.

Τὰ δὲ ὑποτακτικὰ, ὁμοίως τῶν παθητικῶν ἀορίστοις τῶν εἰς η. ἐτίθη, ἐὰν τιθῶ. τὸ δὲ δῶσιν ἐπὶ τοῦ τρίτου, καὶ δώησι, ποιητικὰ, πρὸς παράδειγμα τοῦ τρίτου τῶν ἑνικῶν. Τοιαῦτα δὲ καὶ τὰ θείω, στήω, δώω. μονοσύλλαβα γὰρ ὄντα καὶ περισπώμενα τὰ θῶ, στῶ, δῶ, δισύλλαβα καὶ βαρύτονα ποιηταὶ ποιοῦσι, παρεντιθέντες οἰκείως τὰς τοιαύτας τῶν συλλαβῶν. ἑκάστῳ γὰρ τὸ ἴδιον ἀρχικὸν αὔξάνοντες προστιθέασι.

Εὐκτικῶν.

Καὶ τὰ εὐκτικὰ δὲ ὁμοίως, τοῖς τῶν αὐτῶν εὐκτικοῖς.

Ἀπαρεμφάτων.

Τὰ δὲ ἀπαρέμφατα, ἐνεστῶτος μὲν ἀπὸ τῆς μετοχικῆς γενικῆς, καὶ ταῦτα, ἐξαιρέσει τοῦ κλιτικοῦ ν, καὶ μεταποιήσει τῆς ἐσχάτης εἰς ναι. τιθέντος, τιθέναι. διδόντος, διδόναι. τὸ δὲ διδοῦναι κατὰ ποιητικὴν ἄδειαν.

Προστακτικῶν ἐνεργητικῶν.

Τὰ δὲ μέσα τε καὶ παθητικὰ, ὁμοίως καὶ ἐπὶ τῶν εἰς ω. Τόποι δὲ σχηματισμοὶ κλίσεως προσωπικῆς τῶν ἐγκλίσεων τούτων, τοιοῦτοι. Τῶν Προστακτικῶν ἐνεργητικῶν, τὸ τρίτον τῶν ἑνικῶν ἀπὸ τοῦ ἰδίου δευτέρου, προσθέσει τῆς τω. τύπτε, τυπτέτω. πλὴν τῶν εἰς θι. ταυτὶ γὰρ οὐ προσθέσει, ἀλλὰ μεταποιήσει τῆς ἐσχάτης, τὸν αὐτὸν ἔχει προσχηματισμόν. τίθετι, τιθέτω. τύφθητι, τυφθήτω. τοῦ δὲ πρώτου ἀορίστου καὶ μεταποιήσει τοῦ τῆς ληγούσης ὑποτακτικοῦ εἰς α πανταχοῦ. τύψον, τυψάτω. Τῶν δὲ δυϊκῶν τὸ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν, προσλήψει τῆς τον. τύπτε, τύπτετον. Τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου προσλήψει τοῦ ν. τυπτέτω, τυπτέτων. Τῶν Πληθυντικῶν τὸ μὲν δεύτερον ἀπὸ δευτέρου τῶν ἑνικῶν, προσλήψει τῆς τε. τύπτε, τύπτετε. τύψον, τύψατε. καὶ μεταποιήσει ὡς εἴρηται. Τὸ δὲ τρίτον ἀπὸ τοῦ τρίτου, προσθέσει τῆς σαν, τυπτέτω, τυπτέτωσαν. τὸ δὲ τυπτόντων ἀντὶ τοῦ τυπτέτωσαν, κατὰ συγκοπὴν ἔοικε γεγονέναι, καὶ μεταβολὴν τῆς παραληγούσης εἰς μακράν. ὅτι τὰ τρίτα τῶν πληθυντικῶν ἐσχατοσυλλαβοῦντα τῷ τ, μακρὰ ὁπωσοῦν παραλήγει. Ἐξαιρείσθω τὸ Ἰωνικὸν, τετύφαται. ὡσαύτως δὲ καὶ τοῦ τυπτέσθων ἀντὶ τοῦ τυπτέσθωσαν ὁ σχηματισμὸς ἐὰν εἴη.

MEDIORVM ET PASSIVORVM.

3. perso. sin. MEdiorũ aũt & passiuorũ tertia persona singulariũ fit, elisa ι diphth. posteriore uocali, & mutato ο in ε, si fuerit, atq; assumpto σθω. ut uerberare, beretur. Exceptis indefinitis in θι, hęc em̃ cõgruũt cũ in θι actiuis.
2. Dualium. Identidẽ dualium secũda formatur à tertia singularium, mutatione ultimæ in σθον. uerberetur, ramini duo.
3. pluralis. Tertia uero ab eadẽ addita ν. uerberetur, rentur d. Pluralium aũt secunda quidẽ à secunda dualiũ, mutatione ultimæ in σθε. uerberamini d. ramini plures. Item tertia, interposito σα. uerberentur d. rentur p. Cæterum uerberentur pro uerberentur, sicut de uerberent modo indicauimus.

OPTATIVORVM IN MI.

2. singulari. OPtatiuorum aũt desinentiũ in μι, secunda singulariũ à prima format, eliso ι, & uerso μ in σ. uerberarem, uerberares.
2. & 3. dual. Rursum tertia à secũda, ablato σ. uerberares, ret. Dualiũ uero secunda qdẽ à secũda singu rium, mutato σ in τ, & assumpto ον. uerberares, retis d. Itẽ
Pluraliũ. 1. tertia à sua secunda, mutatione ultimæ in την. uerberaretis d. rarent d. Pluraliũ aũt prima quidẽ fit à prima singulariũ, mutatione ultimę in μεν. uerberarẽ, remus. Rursum secunda à secunda dualiũ, mutatione ultimæ in τε. uerberaretis d. uerberaretis p. Tertia item à sua prima, elisione
Optatiua in ην. inflexiuæ μ. uerberaremus, rarent. Desinentiũ aũt in ην, secunda quidem singularium à prima fit, uersa finali ν in σ. tus essem, tus esses. Sed aliæ omnes ut in optatiuis
3. pluralis. σαν εν. in μι, nisi quod tertiæ pluralium etiam in σαν formantur. uerberati sint. In εν uero cum abijciunt penul. η. rati sunt.
In μην. Cęterum desinentium in μην secunda quidem singularium à prima formatur, mutatione ultimę in ο. uerberarer, rareris. Tertia uero à secunda, interposito τ. uerberareris, uerberareris, uerberaret. Dualũ prima fit à prima sin
Dualium. 1. gulariũ, mutatiõe ultimę in μεθον. uerberarer, uerberaremur d. Itẽ secunda à secũda, mutatiõe ultimæ in σθον. uerberar, eris, raremini d. Cęterũ tertia à propria secũda, mutatione ultimæ in θην. uerberaremini d. uerberarentur d. Pluralium autem prima persona fit à prima dualium,

mutatione

ΜΕΣΩΝ ΚΑΙ ΠΑΘΗΤΙΚΩΝ.

Τῶν δὲ μέσων τε καὶ παθητικῶν, τὸ μὲν τρίτον τῶν ἑνικῶν, ἐξαιρέσει τοῦ διφθογγοῦντος ὑποτακτικοῦ φωνήεντος, καὶ τροπῇ τοῦ ο εἰς ε, ἐὰν ὑπάρχῃ, καὶ προσλήψει τῆς σθω. τύπτου, τυπτέσθω. Πλὴν τῶν εἰς θι ἀορίστων, ταῦτα γὰρ διόλου τοῖς εἰς θι ἐνεργητικοῖς. Ὁμοίως τῶν δυϊκῶν τὸ δεύτερον ἀπὸ τρίτου τοῦ τῶν ἑνικῶν μεταποιήσει τῆς ἐσχάτης εἰς σθον. τυπτέσθω, τύπτεσθον. καὶ τὸ τρίτον δὲ ἀπὸ τοῦ αὐτοῦ, προσθέσει τοῦ ν. τυπτέσθω, τυπτέσθων. Τῶν δὲ Πληθυντικῶν, τὸ μὲν δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς σθε. τύπτεσθον, τύπτεσθε. Τὸ δὲ Τρίτον ἀπὸ τοῦ τρίτου, παρενθέσει τῆς σαν. τυπτέσθων, τυπτέσθωσαν. Τὸ τυπτέσθων ἀντὶ τοῦ τυπτέσθωσαν, ὡς περὶ τῶν τυπτόντων εἰρήκαμεν.

ΕΥΚΤΙΚΩΝ ΕΙΣ ΜΙ.

Τῶν δὲ εὐκτικῶν ληγόντων μὲν εἰς μι, τὸ δεύτερον τῶν ἑνικῶν ἀπὸ τοῦ πρώτου, ἐξαιρέσει τοῦ ι, καὶ τροπῇ τοῦ μ εἰς σ. τύπτοιμι, τύπτοις. Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου, ἐκβολῇ τοῦ σ. τύπτοις, τύπτοι. Τῶν δὲ δυϊκῶν τὸ μὲν δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν ἑνικῶν, μεταβολῇ τοῦ σ εἰς τ, καὶ προσλήψει τῆς ον. τύπτοις, τύπτοιτον. Τὸ τρίτον ἀπὸ τοῦ ἰδίου δευτέρου μεταποιήσει τῆς ἐσχάτης εἰς την. τύπτοιτον, τυπτοίτην. Τῶν δὲ Πληθυντικῶν, τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς μεν. τύπτοιμι, τύπτοιμεν. Τὸ δεύτερον ἀπὸ τοῦ δευτέρου τῶν δυϊκῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς τε. τύπτοιτον, τύπτοιτε. Τὸ τρίτον ἀπὸ τοῦ ἰδίου πρώτου, ἐξαιρέσει τοῦ κλιτικοῦ μ. τύπτοιμεν, τύπτοιεν. Ληγόντων δὲ εἰς ην, τὸ μὲν δεύτερον τῶν ἑνικῶν ἀπὸ τοῦ πρώτου, τροπῇ τοῦ ληκτικοῦ ν εἰς σ. τυφθείην, τυφθείης. Τὰ δ' ἄλλα πάντα, ὁμοίως τοῖς τῶν εἰς μι. πλὴν ὅσον τὰ τρίτα τῶν πληθυντικῶν καὶ εἰς σαν σχηματίζεται. τυφθείησαν. καὶ εἰς εν δὲ, ἀποβάλλοντα τὸ παραλῆγον η, τυφθεῖεν. Ληγόντων δὲ εἰς μην, τὸ μὲν δεύτερον τῶν ἑνικῶν ἀπὸ τοῦ πρώτου, μεταποιήσει τῆς ἐσχάτης εἰς ο. τυποίμην, τύπτοιο. Τὸ δὲ τρίτον ἀπὸ τοῦ δευτέρου, παρενθέσει τοῦ τ. τύπτοιο, τύπτοιτο. Τῶν δυϊκῶν, τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν ἑνικῶν, μεταποιήσει τῆς ἐσχάτης εἰς μεθον. τυπτοίμην, τυπτοίμεθον. Τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου, μεταποιήσει τῆς ἐσχάτης εἰς σθον. τύπτοιο, τύπτοισθον. Τὸ δὲ τρίτον ἀπὸ τοῦ ἰδίου δευτέρου, μεταποιήσει τῆς ἐσχάτης εἰς σθην. τύπτοισθον, τυπτοίσθην. Τῶν δὲ Πληθυντικῶν, τὸ μὲν πρῶτον ἀπὸ τοῦ πρώτου τῶν δυϊκῶν,

mutatione ultimæ in θα. uerberaremur duo. raremur p. Rursum secunda à secunda, mutatione ultimæ in σθε. uerberaremini d. remini p. Tertia uero à tertia singulari, interiecto ν. uerberaretur, uerberarentur.

SVBIVNCTIVORVM.

Subiunctiuorũ oẽs personę similiter fiũt, ut in actiuorũ p̃senti, nisi qđ ubi illa ε inflexiuũ habẽt, hic habetur η. uerberas, si beres. uerberatur, si retur. Vbi uero illic est ο, hic ω. uerberor, si uerberer. exceptis uerbis, quæ sunt quintę in penultima habẽtib' ω. do. Nã in his semper idẽ seruatur. si dem, des, det. Refertur autem ad coniu. quintam & sum, substantiuũ uerbum. Atq; omnino nullum erit, quod non alicuius dictarũ sit. Quæ uero sunt quintæ in penul. hñtia υ, ut iũgo, p̃te. imper. dũtaxat cõperiuntur habere, & indefin. 2. natũ est, subijt. Præte. aũt perfect. & reliqua tẽpora nõ habẽt, ut cætera eiusdem cõiu. at neq; modũ optati. hñt, neq; subiun. nisi quis iungerẽ dicat, & iungerer, diphthõgo υι in penul. usus, ut & meminissem, factus essem igitur, & positus essem, dicere sic licebit.

Verbũ substanti. sum.
Verba ĩ υμι defectiua.

DE CONTRACTIS.

Quæ uero tertiæ desinẽtia in ω purũ, per α, aut ε, aut ο penul. faciũt, qđ cõtrahunt, dictũ est pri'. Id uero in p̃nti & pręt. imperf. solũ accidit. Cõe hñt igitur, qđ p̃cedente una q̃uis harũ α, ε, ο, & sequẽte ω, semper cõtractio in ω fit. Propriũ aũt est, qđ p̃cedẽte α, & sequente ο siue per se, siue in diphthõgo, semper cõtractio fit in ω. ut clamam', mus. clamare, tu. clamarẽ, rem. Seq̃nte uero ε, aut η, siue in diph. siue per se, fit semper in α. clamas, mas. clama, met. Vnde sanè & subiũctiua hęc, & alia oĩno contracta cõtingit non subiacere his, q̃ dicta sunt de incõtractis. Præcedente uero ε, & seq̃nte ο, siue per se, siue in diphthõgo υ, fit semper contractio in ου. facimus, mus. fac, fac. Seq̃nte uero ε, siue per se, siue in diphthongo, fit semper contractio in ει. facis, facitis, tis. Rursum sequente η, siue per se, siue in diphthon. fit contractio in η. si facias, si fiat, fiat. Cæterũ cũ sequitur ο, ut in diphthongo οι, contractio in οι fit. facerem, rem. Tametsi quę dissyllaba sunt, primã

Exceptiões.

non

μεταποιήσει τῆς ἐσχάτης εἰς θα. τυπτοίμεθον, τυπτοίμεθα, Τὸ δὲ δεύτερον ἀπὸ τοῦ δευτέρου, μεταποιήσει τῆς ἐσχάτης εἰς σθε. τύπτοισθον, τύπτοισθε. Τὸ τρίτον ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν, παρενθέσει τοῦ ν. τύπτοιτο, τύπτοιντο.

ΥΠΟΤΑΚΤΙΚΩΝ.

Τῶν δὲ ὑποτακτικῶν πάντα ὁμοίως τοῖς τῶν ὁριστικῶν ἐνεστῶσι, πλὴν ὅσον ἔνθα μὲν ἐκεῖνα τὸ ε κλιτικὸν ἔχει, ἐνταῦθα τὸ η. τύπτεις, ἐὰν τύπτῃς. τύπτεται, ἐὰν τύπτηται. ἔνθα δ' ἐκεῖ τὸ ο. ἐνταῦθα τὸ ω. τύπτομαι, ἐὰν τύπτωμαι. πλὴν τῶν τῆς πέμπτης παραληγόντων τῷ ω. δίδωμι. ἐν τούτοις γὰρ ἀεὶ τὸ αὐτὸ φυλάττεται. ἐὰν διδῶ, διδῷς, διδῷ. Ανάγεται δὲ εἰς τὴν πέμπτην συζυγίαν, καὶ τὸ εἰμὶ ὑπαρκτικὸν ῥῆμα, Καὶ ὅλως οὐδὲν ἂν εἴη ἔξω τῶν εἰρημένων. Τὰ δὲ τῆς πέμπτης παραλήγοντα τῷ υ. οἷον ζεύγνυμι, παρατατικὸν μόνον εὑρίσκεται ἔχοντα, καὶ ἀόριστον δεύτερον, ἔφυ, ἔδυ. Παρακείμενον δὲ καὶ τἄλλα τὰ περὶ τοὺς χρόνους οὐκ ἔχει τοῖς συζύγοις ὁμοίως. οὔτε μὴν ἔγκλισιν εὐκτικὴν ἔχει, οὐδὲ ὑποτακτικήν, εἰ μή τις ζευγνυίην λέγοι, καὶ ζευγνυίμην, διφθόγγῳ παραληγούσῃ χρώμενος τῇ υι. οἷον καὶ τὸ μεμνήμην. καὶ πεποιήμην οὖν, καὶ τεθνήμην λέγειν ἂν ταύτῃ ἐξείη.

ΠΕΡΙ ΤΩΝ ΣΥΝΗΡΗΜΕΝΩΝ.

Ὅσα δὲ τῆς τρίτης λήγοντα εἰς ω καθαρόν, τῷ α, ἢ τῷ ε, ἢ τῷ ο παραλήγει, ὅτι μὲν συναιρεῖται ταῦτα, εἴρηται πρότερον. ποτὶ δὲ περὶ τὸν ἐνεστῶτα καὶ παρατατικὸν μόνον συμβαίνει. Κοινὸν μὲν οὖν τό, ἡγουμένου οὑτινοσοῦν τῶν α, ε, ο. ἑπομένου δὲ τοῦ ω, ἀεὶ τὴν συναίρεσιν εἰς ω γίνεσθαι. Ἴδιον δὲ τό, ἡγουμένου τοῦ α. ἑπομένου δὲ τοῦ ο, εἴτε καθ' αὑτό, εἴτε ἐν διφθόγγῳ, ἀεὶ τὴν συναίρεσιν γίνεσθαι εἰς ω. οἷον βοάομεν, ὦμεν. βοάου, ῶ. βοάοιμι, ῷμι. ἑπομένου δὲ τοῦ ε, ἢ τοῦ η, εἴτε ἐν διφθόγγῳ, εἴτε καθ' αὑτό, ἀεὶ εἰς α. βοάεις, ᾷς. βόαε, α. βοάῃ, ᾷ. ὅθεν δὴ καὶ τὰ ὑποτακτικὰ ταῦτα, καὶ ὅλως τὰ ἐκ συναιρέσεως συμβαίνει μὴ ὑποκεῖσθαι τοῖς λεχθεῖσι περὶ τῶν ἀπαθῶν. Ετι ἡγουμένου τοῦ ε, ἑπομένου μὲν τοῦ ο, εἴτε καθ' αὑτό, εἴτε ὡς ἐν διφθόγγῳ τῇ ου, ἀεὶ ἡ συναίρεσις εἰς ου. ποιέομεν, οῦμεν. ποιέου, οῦ. Επομένου δὲ τοῦ ε, εἴτε καθ' αὑτό, εἴτε ἐν διφθόγγῳ, ἀεὶ ἡ συναίρεσις εἰς ει. ποιέεις, εῖς. ποιέετε, εῖτε. Επομένου δὲ η, εἴτε καθ' αὑτό, εἴτε ἐν διφθόγγῳ, ἡ συναίρεσις εἰς η. ἐὰν ποιέῃς, ῇς. ἐὰν ποιέηται, ῆται. Επομένου δὲ τοῦ ο, ὡς ἐν διφθόγγῳ τῇ οι, ἡ συναίρεσις εἰς οι. ποιέοιμι, οῖμι. τοῦ γε μὴν δισύλλαβα ὄντα, τὸ πρῶ

τον οὐ

nõ cõtrahũt personã. Nauigo,nato, fluo.sed nauigas,& gat,& reliq̃ similiter. Itẽ cũ præcedit ο,& sequiť ο, siue per se,siue in diph.prçterq̃ in οι fit tũ cõtractio ĩ ȣ.inauramus, *ο ante ε.* mus. inaurare, re. Similiter & cũ sequitur ε. inauratur,ra tur.Vbi aũt sequiť η in ω fit, aut in ου. si inauretur,si retur, *η ante ο.* aut inauretur.Cæterum sequente ι,nẽpe ut in diphthon= go,fit contractio in οι.inauras,auras,ĩaurares,res si inau res,res.excepto infinitiuo,inaurare enim inaurare facit. *Optatiuum Aeolicum.* Cõmune autem his omnibus, quod optatiua proferunť etiam mutata ultima in ην more Aeolico.facerẽ, facerẽ. clamarẽ,clamarẽ. Atq; ita in desinentiũ in ην optatiuo= rum inflexionem, transeunt omnino.

DE VERBIS HETEROCLITIS.

QVemadmodũ noĩa alia sunt heteroclita,alia inde clinabilia,uel ꝓpter cõtractionẽ,uel alia de causa. sic & uerba heteroclita dici possunt.coquo,coquã. pario,am.cado,am.capio,am.uenio,am. Cõplura sunt autẽ hmõi,atq; usum obseruare oportebit & in his. Vt in gñe tamẽ dicã q̃ in duas cõso.diuersas ex deriuatiõe desi nũt,inflex. nullã hñt ꝓpriã, uerũ formãť hçc per τ, aut per *Exceptiões.* huic cognatã σ.Exceptis uerbis quartç.iacio,iacio.pario, rio.habeo,beo.dico,co.cado,co.steti,sto.paui,pasco.per feci,perficio. Volũt aũt assumere ex formatiõe cõsonan tem,uel secũdç,uel tertiç persõnç passiui p̃te,perf.Quare & in uerbis quartç cõiu.à maneo formatũ est maneo,pro pterea qđ σ nõ quadret, ac ne ν cõueniat quidẽ in ea iun= ctura, sed suo more uerti soleat in μ. Nihil tñ ab re erit,si quis nõ ex mutatiõe esse μ existimet,sed à prima persona p̃te. assumi.mãsi,maneo.Porrò hæc uocenť redũdantia.

CONTRACTA.

Indeclinabilia aũt sunť,qĩa,facio, clamo,q̃ten⁹ passa.

DESYDERATIVA.

IAm & si cõtracta,indeclinabilia tñ sunt desydera.oĩa. disciturio,secturio,regnaturio,bellaturio,uisurio. His aũt puto adiũgẽda apte, quçcũq; uerba speciẽ hñt ter tiç personæ,cũ sint nullius,uñ & ipsa impersonalia nomi= nanť.ut oportet,oportet,uidetur,cõtingit,curæ est, licet.

Atq; in

τον οὐ συναιρεῖται πρόσωπον. Πλέω, νέω, ῥέω. πλεῖς δὲ καὶ πλεῖ, καὶ τὰ λοιπὰ ὁμοίως. Ἔτι ἡγουμένου τοῦ ο, ἑπομένου μὲν τοῦ ο, εἴτε καθ' αὑτὸ, εἴτε ἐν διφθόγγῳ, πλὴν τῆς οι, ἡ συναίρεσις εἰς ου. χρυσόομεν, οῦμεν. χρυσόου, οῦ. ὡσαύτως δὲ καὶ ἑπομένου τοῦ ε. χρυσόεται, οῦται. ἑπομένου δὲ τοῦ η, εἰς ω, ἢ εἰς ου. ἐὰν χρυσόηται, ἐὰν χρυσῶται, ἢ χρυσοῦται. Ἑπομένου δὲ τοῦ ι ὡς ἐν διφθόγγῳ δηλονότι, ἡ συναίρεσις εἰς οι. χρυσόεις. χρυσοῖς. χρυσόοις, χρυσοῖς. ἐὰν χρυσόῃς, χρυσοῖς. πλὴν τῆς τοῦ ἀπαρεμφάτου, χρυσόειν γάρ τοι χρυσοῦν. Κοινὸν δὲ τούτων ἁπάντων, τὸ τὰ εὐκτικὰ προφέρεσθαι δὴ, καὶ μεταποιήσει τῆς ἐσχάτης εἰς ην, ἔθει Αἰολέων. ποιοῖμι, ποιοίην. βοῷμι, βοῴην. καὶ οὕτως εἰς τὴν τῶν εἰς ην ληγόντων εὐκτικῶν κλίσιν μεταβαίνειν διόλου.

ΠΕΡΙ ΡΗΜΑΤΩΝ ΕΤΕΡΟΚΛΙΤΩΝ.

Ὥσπερ δ' ὀνόματα τὰ μὲν ἑτερόκλιτα, τὰ δὲ ἄκλιτα διὰ πάθος τε καὶ ἑτέρως, οὕτω καὶ ῥήματα ἑτερόκλιτα ἂν λέγοιτο. πέπτω, πέψω. τίκτω, τέξω. πίπτω, πεσοῦμαι. ἁλίσκω, ἁλώσω. ἔρχομαι, ἐλεύσομαι. Πολλὰ δὲ τὰ τοιαῦτα, καὶ τὴν χρῆσιν δὲ παρατηρητέον γε ἐν ταῦθα. Ὡς καθόλου μέν τοι εἰπεῖν. τὰ εἰς δύο σύμφωνα διάφορα ἐκ παραγωγῆς λήγοντα, κλίσιν οὐδὲ μίαν ἴσχει οἰκείαν. σχηματισμὸς δὲ τῶν τοιούτων τῷ τ. ἢ τῷ συγγενεῖ σ. Πλὴν τῶν τεταρτοσυζύγων. ῥέπω, ῥίπτω. τέκω, τίκτω. ἔχω, ἴσχω. ἕπω, ἕσπω. πέτω, πίπτω. ἔστακα, στάσκω. βέβοκα, βόσκω. τετέλεκα, τελέσκω. Βούλεται δὲ προσλαμβάνειν ἐκ σχηματισμοῦ σύμφωνον ἢ τοῦ δευτέρου ἢ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου. διὸ καὶ ἐν τεταρτοσυζύγοις ἐκ τοῦ μένω ἐσχημάτισται μίμνω, ὡς τοῦ μὲν σ ἀσυντάκτου ὄντος. τοῦ δὲ ν ἀσυμβάντως μὲν καὶ αὐτοῦ ἔχοντος, οἰκείως δὲ μεταβάλλοντος εἰς τὸ μ. διαφερέτω δὲ γε μηδὲν, κἂν εἴ τις μὴ ἐκ μεταβολῆς εἶναι τὸ μ. ἀξιοῖ, ἀλλ' ἀπὸ τοῦ πρώτου μεταλαμβάνεσθαι. μέμεμμαι, μίμνω. καλείσθω δὲ πλεοναστικά.

ΣΥΝΗΡΗΜΕΝΑ.

Ἄκλιτα δὲ τὰ συνῃρημένα πάντα. ποιῶ, βοῶ. ὡς πεπονθότα.

ΕΦΕΤΙΚΑ.

Καὶ μὲν δὴ καὶ ἀπαθῆ, ἄκλιτα τὰ ἐφετικὰ πάντα. μαθητιῶ, τομιῶ, βασιλειῶ, πολεμησείω, ὀψείω. Τούτοις δ' οἶμαι συντάττειν οἰκεῖον καὶ ὅσα τῶν ῥημάτων τύπον μὲν ἔχει τρίτου προσώπου, ἔστι δὲ οὐδενὸς, ὅθεν δὴ καὶ ἀπρόσωπα ὀνομάζεται. οἷον τὸ δεῖ, καὶ χρὴ, καὶ δοκεῖ, καὶ συμβαίνει, καὶ μέλει, καὶ ἔξεστι.

Atq; in summa, q̄ nullā indicāt personā. In his aūt, q̄ actiui uocē habeant, nō multa qdē numero. Verū q̄ passiui, plurima, nimirū oīa personalia passiuorū. Etenim singulariū tertia in singulis tēporibus ad imperso. transsumit notam, neq; primā, neq; secuodam habet personā. Id in his liquebit. ut dicitur, dictū est, scriptum est, dictum esto, factum esto.

DE PARTICIPIIS.



POrrò participiorum formatiōes à singulis fiunt temporibus, præterquā à prꝑterito imperfe. & prꝑte. plusq̄per. quæ cum adiunctitia (ut dictū est) sint, alterū pr̄ti, alterū prꝑteri. perfe. cōmunia sanè habent & ab ijsdē participia. Cæterū commune & his, quod in præteritis omnibus augmentum abijcitur, præterquam in præterito perfecto.

Actiua. Præsens. Futurum.

Fit autē in uerbis in ω actiuis à prima quidē singulariū prꝑsentis & futuri utriusq; participiū, assumptione ν. uerbero, hic uerberās. rabo, raturus. Fœmininū rursus à masculini recto, mutatione quidē finalis ω in ȣ, & ν in σ, atq; assumptione α finalis. hic uerberans, hæc uerberans. uerberaturus, ra. uerberaturus, ra. Neutrū uero à gtō, ablatione ultimæ. uerberantis, hoc uerberans. uerberaturi, turum. uerberaturi, turum. Affinia autē his & participia secundi indefiniti. nam masculinū quidem fit mutato ο ultimæ in ω. uerberaui, qui rauit. fœmininū uero & neutrum, ut dictum est. Porrò à primo indefin. masculinū fit assumpto σ. uerberaui, qui rauit. Fœmininū uero & neutrū, ut dictū est, nisi qd' hic penult. pducitur, nulla aliunde assumpta uocali. q uerberauit, quæ uerberauit, qd' rauit. A præterito uero perfecto masculinū, mutato finali α in ω, atq; assumpto σ. uerberaui, qui uerberauit. Fœmininū rursum à gtō fit mascu. ablatione ultimæ, & assumptione α, atq; elisione penultimā faciētis ο, sed assumptione diphthōgi υι. eius q uerberauit, q̄ rauit. Cꝑterū neutrū ab eodē, ablato τo. Porrò quæ fuit, quæ iuit, & stetit, atq; alia hmōi, sunt poëtica. Syncopen enim facientes poëtæ, transfigurant

Indefiniti. Præteritum perfectum. Poëtica.

Καὶ ὅλως τὰ μηδὲν ἐμφαίνοντα πρόσωπον. Τούτων δὲ τὰ μὲν ἐνεργητικοῦ προφορὰν ἔχοντα, οὐ πολλ᾽ ἄττα τὸν ἀριθμόν. Τὰ δὲ παθητικοῦ, πλεῖστα, ὁπόσα δὴ καὶ τὰ προσωπικὰ τῶν παθητικῶν. Τὸ γὰρ ἑνικῶν ἑκάστου τρίτον τῶν χρόνων, εἰς ἀπρόσωπον μεταλαμβανόμενον σημασίαν, οὔτε πρῶτον, οὔτε δεύτερον ἔχει πρόσωπον. ταύτῃ ἂν θεωροῖτο. οἷον λέγεται, εἴρηται, γέγραπται, εἰρήσθω, πεποιήσθω.

ΠΕΡΙ ΜΕΤΟΧΩΝ.



Ων δὲ μετοχῶν οἱ σχηματισμοὶ ἀφ᾽ ἑκάστων γίνονται χρόνων, πλὴν τοῦ παρατατικοῦ καὶ ὑπερσυντελικοῦ. οὗτοι δὲ συνεζευγμένοι ὡς εἴρηται ὄντες, ὁ μὲν τῷ ἐνεστῶτι, ὁ δὲ τῷ παρακειμένῳ, κοινὰς δὴ ἔχουσι καὶ τὰς παρ᾽ αὐτῶν μετοχάς. Κοινὸν δὲ κἀνταῦθα τῶν παρῳχημένων ἁπάντων, ἡ τῆς αὐξήσεως ἀποβολή, πλὴν τοῦ παρακειμένου.

Ενεργητικαί, Ενεστώς, Μέλλων.

Γίνεται δὲ ἐπὶ τῶν εἰς ω ἐνεργητικῶν ἀπὸ μὲν τοῦ πρώτου τῶν ἑνικῶν ἐνεστῶτος καὶ μέλλοντος ἑκατέρου μετοχή, προσλήψει τοῦ ν. τύπτω, ὁ τύπτων. τύψω, ὁ τύψων. τυπῶ, ὁ τυπῶν. Θηλυκὸν δὲ ἀπὸ τῆς τοῦ ἀρσενικοῦ εὐθείας, τροπῇ τοῦ λήγοντος ω, εἰς ου, καὶ τοῦ ν, εἰς σ, καὶ προσλήψει τοῦ α ληκτικοῦ. ὁ τύπτων, ἡ τύπτουσα. ὁ τύψων, ἡ τύψουσα. ὁ τυπῶν, ἡ τυποῦσα. Τὸ δὲ οὐδέτερον ἀπὸ τῆς γενικῆς ἀποκοπῇ τῆς ἐσχάτης. τοῦ τύπτοντος, τὸ τύπτον. τοῦ τύψοντος, τὸ τύψον. τοῦ τυποῦντος, τὸ τυποῦν. Εγγὺς δὲ τούτων καὶ τὰ τοῦ δευτέρου ἀορίστου. τὸ μὲν γὰρ ἀρσενικῶν, μεταβολῇ τοῦ τῆς ἐσχάτης ο εἰς ω. ἔτυπον, ὁ τυπών. τὸ δὲ θηλυκόν, καὶ οὐδέτερον, ὡς εἴρηται. Από δὲ τοῦ πρώτου ἀορίστου, τὸ μὲν ἀρσενικὸν προλήψει τοῦ σ. ἔτυψα, ὁ τύψας. Τὸ δὲ Θηλυκόν, καὶ οὐδέτερον, ὡς εἴρηται. πλὴν ὅσον ἐνταῦθα ἡ παραλήγουσα μηκύνεται, μηδενὸς ἔξωθεν προσλαμβανομένου φωνήεντος. ὁ τύψας, ἡ τύψασα, τὸ τύψαν. Από δὲ τοῦ παρακειμένου τὸ μὲν ἀρσενικόν, μεταβολῇ τοῦ τελικοῦ α εἰς ω, καὶ προσλήψει τοῦ σ. τέτυφα, ὁ τετυφώς. Τὸ δὲ Θηλυκόν, ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ, ἀποκοπῇ τῆς ἐσχάτης, καὶ μεταλήψει τοῦ α, καὶ ἐξαιρέσει μὲν τοῦ παραλήγοντος ο, μεταλήψει δὲ τῆς διφθόγγου υι. τοῦ τετυφότος, ἡ τετυφυῖα. Καὶ τὸ Οὐδέτερον δὲ αὐτόθεν, ἐξαιρέσει τῆς το. Τὸ δὲ γεγῶσα, καὶ βεβῶσα, καὶ ἑστῶσα καὶ τὰ τοιαῦτα, ποιητῶν. συγκοπὴν γὰρ ποιοῦντες μετασχηματίζουσι καὶ τὸ

fœmininũ iuxta cõtractionẽ. Nã à fui unde fit, quę fui, uenit q fuit, uñ q fuit, atq; in alijs similiter. Quib⁹ sanè respondet & mortua. Tametsi à mortu⁹ sum, qđ nõ passum est.

Media & passiua.

In medijs autem & passiuis uniuersaliter, habentibus quidẽ μ inflexiuũ, mutatione ultimæ in μένος, masculinũ participiũ fit. uerberor, qui uerberatur. raui, qui uerberauit. Cęterum non habentibus, sed in ην terminatis, mutata ultima in ας formatio est. uerberatus sum, ratus. Fœmininũ & neutrũ, ubi μ quidẽ inflexiuũ est, à masculino fit, mutata ultima in νη, & νον. qui uerberatur, quę uerberaẽ, qđ uerberatur. Vbi uero non, itidẽ fiunt ut in actiuis, nisi qđ manet finalis eadem uocalis, ut est illud. uerberatus, uerberata, uerberatum. Quanq̃ à medio pterito perfe. sic fiunt per omnia, uti in actiuo. uerberaui, qui uerberauit, eius qui uerberauit, quæ uerberauit, quod uerberauit.

MEDIA ET PASSIVA VERBORVM IN MI.

VErborũ aũt in μι passiua qdẽ & media ut dictũ est. ponor, qui ponitur. positus sum, q tus est. tus sum positus. Cęterũ actiua, ut indefi. qdẽ prima uerborũ in ω desinentiũ, formãda sunt. Secũdis aũt acpte. ĩper. in σ acuta ultima, oĩbus formatio est, at nõ in syllabã eandẽ, sed iuxta rationẽ uocis. Propria em̃ in singu. initialis uocalis resumiẽ. Porrò ea siue anceps, siue breuis est. Cũ anceps est, in longã finalẽ uertiẽ. Cũ uero breuis, conflaẽ in diph. assumpto ι, aut υ. statuebã, q ebat. iũgebã, q ebat. dabã, q bat. ponebã, q bat. Fœmininũ aũt & neu. ita fiũt, ut q̃ à passiuis in ην. hic ponẽs, hęc ponens, nentis, hoc ponens. hic statuens, hęc ens. entis. hoc statuẽs. hic dãs, hæc dans. tis, hoc dans. hic iungẽs, hęc iungẽs, tis, hoc iungẽs.

IMPERSONALIA PARTICIPIA.

SVnt aũt & impersonaliũ uerborũ participia ĩperso. atq; hæc sanè gñis neut. ueceſſum, cõueniens, apparens, uisum, cõtingẽs, auditũ, cognitũ, demõstratũ, & alia huiusmodi. Sed ut formãda sint, nõ obscurũ, nimirũ eodẽ mõ, quo personalia neutra. Participia uero personalia oĩa tertiæ personę sunt, quẽadmodũ & nomina.

θηλυκὸν πρὸς τὸ πάθος. Ἀπὸ μὲν γὰρ τοῦ γέγαα, ὅθεν τὸ γεγαῶτα, τὸ γεγαώς. ὅθεν τὸ γεγῶσα, κἀπὶ τῶν ἄλλων ὁμοίως. Οἷς δὴ ἠκολούθησε καὶ τὸ τεθνεῶσα, Καίτοι ἀπὸ τοῦ τέθνεα ἀπαθοῦς ὄν.

Μέσα καὶ παθητικά.

Ἐπὶ δὲ τῶν μέσων καὶ παθητικῶν καθόλου τοῖς μὲν ἔχουσι τὸ μ κλιτικόν, μεταποιήσει τῆς ἐσχάτης εἰς μένος, ἡ τοῦ ἀρσενικοῦ μετοχὴ γίνεται. τύπτομαι, ὁ τυπτόμενος. ἐτυψάμην, ὁ τυψάμενος. Τοῖς δὲ μὴ ἔχουσιν, ἀλλὰ εἰς ην λήγουσι, μεταβολῇ τῆς ἐσχάτης εἰς εις ὁ σχηματισμός. ἐτύπην, ὁ τυπείς. Τὸ θηλυκὸν καὶ οὐδέτερον, ἔνθα μὲν τὸ μ κλιτικόν, ἀπὸ τοῦ ἀρσενικοῦ, μεταποιήσει τῆς ἐσχάτης εἰς νη καὶ νον. ὁ τυπτόμενος, ἡ τυπτομένη, τὸ τυπτόμενον. ἔνθα δὲ μή, ὁμοίως καὶ ἐπὶ τῶν ἐνεργητικῶν, πλὴν μένοντος τοῦ λήγοντος αὐτοῦ φωνήεντος, ὡς ἔχει. ὁ τυφθείς, ἡ τυφθεῖσα, τὸ τυφθέν. Τὰ γε μὴν τοῦ μέσου παρακειμένου ὁμοίως παντάπασι τοῖς τοῦ ἐνεργητικοῦ. τέτυπα, ὁ τετυπώς, τοῦ τετυπότος, ἡ τετυπυῖα, τὸ τετυπός.

ΜΕΣΑ ΚΑΙ ΠΑΘΗΤΙΚΑ ΤΩΝ ΕΙΣ ΜΙ.

Τῶν δὲ εἰς μι, τὰ μὲν παθητικὰ καὶ μέσα ὡς εἴρηται. τίθεμαι, ὁ τιθέμενος. ἐθέμην, ὁ θέμενος. ἐτέθην, ὁ τεθείς. Τὰ δὲ Ἐνεργητικά, ἀορίστοις μὲν πρώτοις ὁμοίως τοῖς τῶν εἰς ω ληγόντων σχηματιστέον. Δευτέροις δὲ καὶ παρατατικοῖς, εἰς ς μὲν ὀξυτονούμενον πᾶσιν ὁ σχηματισμός, οὐκ εἰς συλλαβὴν δὲ τὴν αὐτὴν ἀλλ' ἢ ἀναλόγως. Τὸ γὰρ ἴδιον ἑκάστοις ἀρχικὸν φωνῆεν ἐπαναλαμβάνεται. Τὸ δὲ ἤτοι δίχρονον, ἢ βραχύ. καὶ δίχρονον μὲν ὄν, μακροκαταληκτεῖται. βραχὺ δέ, ἀποδιφθογγοῦται, προσλήψει τοῦ ι, ἢ τοῦ υ. ἵστην, ὁ ἱστάς. ἐζεύγνυν, ὁ ζευγνύς. ἐδίδων, ὁ διδούς. ἐτίθην, ὁ τιθείς. Τὸ δὲ θηλυκόν, καὶ οὐδέτερον ὁμοίως τοῖς ἀπὸ τῶν εἰς ην παθητικοῖς. ὁ τιθείς, ἡ τιθεῖσα, τοῦ τιθέντος, τὸ τιθέν. ὁ ἱστάς, ἡ ἱστᾶσα, τοῦ ἱστάντος, τὸ ἱστάν. ὁ διδούς, ἡ διδοῦσα, τοῦ διδόντος, τὸ διδόν. ὁ ζευγνύς, ἡ ζευγνῦσα, τοῦ ζευγνῦντος, τὸ ζευγνῦν.

Ἀπρόσωποι μετοχαί.

Εἰσὶ δὲ καὶ τῶν ἀπροσώπων μετοχαὶ ἀπρόσωποι, καὶ αὐταὶ δηλονότι τῷ γένει οὐδέτεραι. δέον, προσῆκον, δοκοῦν, καὶ δόξαν. συμβάν, ἀκουσθέν, γνωσθέν, ἀποδειχθέν. καὶ τὰ τοιαῦτα. ἤδη τοι σχηματιστέα, οὐκ ἄδηλον. κατὰ ταυτὰ γὰρ τοῖς τῶν προσωπικῶν οὐδετέροις. αἱ δὲ τῶν προσωπικῶν ἅπασαι τρίτου προσώπου εἰσίν, ὡς καὶ τὰ ὀνόματα.

DE ARTICVLIS.



Rticuli autē diuisi sunt prius in præpositiuos quidē & postpositiuos. Nihil autē uetat ut & subiunctiuo apponens p̄positiuū huius, huic, horum, sic p̄feras, cuius in gtō, & cui in dtō singulari, & quorū in gtō plurali. Quo sanè mō & quis nomē postpositiuo additū flectitur, speciē mutās ad casum articuli, ut quisq̄s, cuiuscunq̧, cuicūq̧, & reliqua similiter. Huiusmodi uero & quædā. Sumunt autē articuli & loco pronominis. Nam ὁ pro iste ponitur, & τὸν pro hunc. Idē uero significat, quoties δὲ cōiunctioni annectitur. ut hic, hæc, hoc. Nam p̄nominalia sunt hæc quoq̧. Sed articuli prępositiui cū prępònuntur aduerbijs, in quouis & casu, & numero, pro adiectiuis accipiuntur noībus, sic, ut maneāt aduerbia indeclinabilia. priscus prisci, prisca priscæ, propinquus, insignis, supernus.

ὅτε unde.

Notatio.

ὁ πάλαι, & similia.

DE PRONOMINIBVS.

ἔγωγε.



X pronominibus aūt ego cum sibi γε adiungit coniunctionem, ego sanè, translato in pri. tono, p̄fertur, & non solum diminutionem aliquā ob uim coniunctionis diminuentē, indicat, sed & affirmationē interdū. ut etiā. Huius uero cognatus gtūs mei, datiuus mihi, actūs me, inflectūtur etiā abiecto ι. ueluti hoc meū cōsidera, hoc mihi dic, hoc me doce. De dualibus aūt & pluralibus cōtracte dictū est prius. Incontracte uero sic dicamus. nos d, nostrū d, nos, nostrū, nos. nam nobis unico modo ubiq̧. Itidē & pronoīa secundæ personæ. uos d, uestrū d, uos p, uestri, uos, uobis. Item & tertiæ. illos d. in accusatiuo tantum, ut & illis d. in datiuo, illi p, illorum, illos.

Solitaria p̄nomina.

Cęterū illū & illū & se suę sunt for. quo ad uocem. Quę uero à tertia. possessiua, ut hic suus, hęc sua, hoc suū. etiā sine ι proferuntur. suus, sua, suum. Inflexio autē primiti. iuxta nullam casualem rationem contingit, sed positiuł. similiter & in ijsdem numerus.

Compo-

ΠΕΡΙ ΑΡΘΡΩΝ.



Α δ' ἄρθρα διῄρηται μὲν πρότερον εἰς τὰ προτακτικὰ καὶ ὑποτακτικά. κωλύει δ' οὐθὲν καὶ τῷ ὑποτακτικῷ ὃ συνάπτονται τὸ προτακτικὸν τοῦ, καὶ τῷ, καὶ τῶν, προφέρειν ὅπου ἐστὶ γενικῆς, καὶ ὅπου ἐστὶ δοτικῆς ἑνικοῦ, καὶ ὅπου ἐστὶ γενικῆς πληθυντικῶν. ὃν δὴ τρόπον καὶ τὸ τὶς ὄνομα προστιθέμενον κλίνεται, σχηματιζόμενον ἀεὶ τῇ τοῦ ἄρθρου πτώσει. οἷον, ὅστις, οὗτινος, ᾧτινι, καὶ τ' ἄλλα ὡσαύτως. Τοιοῦτο δὲ καὶ τὸ ἅττα. Λαμβάνεται δὲ τὰ ἄρθρα καὶ ἀντὶ ἀντωνυμιῶν, ὁ γὰρ ἀντὶ τοῦ οὗτος, καὶ τὸν ἀντὶ τοῦ τοῦτον. Ταυτὸ δὲ τοῦτο παρεμφαίνει καὶ τῷ δὲ συνδέσμῳ ἐπιπλεκόμενον οἷον, ὅδε, ἥδε, τόδε. Ἀντωνυμικὰ γὰρ καὶ ταῦτα. Τὰ δὲ προτακτικὰ καὶ προτασσόμενα τῶν ἐπιρρημάτων κατὰ πᾶσαν πτῶσιν καὶ ἀριθμὸν, ἀντὶ ἐπιθέτων λαμβάνεται ὀνομάτων, φυλαττομένου τοῦ τῶν ἐπιρρημάτων ἀκλίτου. ὁ πάλαι, τοῦ πάλαι. ἡ πάλαι, τῆς πάλαι. ὁ πέλας, ὁ πάνυ, ὁ ἄνω.

ΠΕΡΙ ΤΩΝ ΑΝΤΩΝΥΜΙΩΝ.



Ων δὲ ἀντωνυμιῶν, ἡ ἐγὼ τὸν γε προσλαβοῦσα σύνδεσμον, ἔγωγε ὑπερβιβασμῷ τοῦ τόνου προφέρεται. καὶ οὐ μόνον μείωσίν τινα ταύτῃ διὰ τὸ τοῦ συνδέσμου μειωτικὸν δηλοῖ, ἀλλὰ καὶ κατάφασιν ἐνίοτε. οἷον, τὸ ναί. Ταύτης δ' ἡ σύζυγος γενικὴ ἐμοῦ, καὶ δοτικὴ ἐμοὶ, καὶ αἰτιατικὴ ἐμέ, ἐγκλινόμεναι ἀποβάλλουσι τὸ ε. οἷον. τοῦτό μου σκόπει, τοῦτό μοι λέγε, τοῦτό με δίδασκε. Τὰ δυϊκὰ καὶ πληθυντικὰ συνῃρημένως μὲν εἴρηται πρότερον. ἀσυναιρέτως δὲ ὧδε λέγομεν. νῶϊ, νῶϊν, ἡμέες, ἡμέων, ἡμέας. ἡμῖν γὰρ δοτικὴ μοναχῶς πανταχοῦ. ὡσαύτως δὲ καὶ τοῦ δευτέρου προσώπου. σφῶϊ, σφῶϊν, ὑμέες, ὑμέων, ὑμέας, Καὶ τὰ τοῦ τρίτου σφῶε, ἐστὶ αἰτιατικῆς μόνως, ὡς καὶ σφὶν ἐστὶ δοτικῆς σφέες, σφέων, σφέας.

Μοναδικαὶ κτητικαί.

Ἡ δὲ μὴν, καὶ νὶν, καὶ σφὲ μοναδικαὶ τὴν φωνήν. αἵ τε ἀπὸ τοῦ τρίτου κτητικαὶ, οἷον ὁ ἑός, ἡ ἑή, τὸ ἑόν. καὶ χωρὶς τοῦ ε λέγονται. ὅς, ἥ, ὅν. κλίσις δὲ τῶν πρωτοτύπων αὐτῶν κατ' οὐδεμίαν πτωτικὴν ἀναλογίαν συμβαίνει, ἀλλὰ θετικῶς. Ὡσαύτως δὲ καὶ ὁ κατ' αὐτὰς ἀριθμός.

Composita.

Ex compositis uero sui ipsius & sine ε profertur, recipiente aspirationem in se αυ. sui ipsius.

Possessiua.

Possessiua in ϵος. Generaliter aũt possessiua fic,ut in ος triũ gen. simplicia nomina, figurant. Nã quẽadmoda illa, cũ adest alia consonans, fœm. deducunt in α. desertus, deserta. hic prudens, hæc prudens. medius, media. ebrius, ebria. at cũ in ϵ, in α. splendidus, dida. hic sapientior, hæc tior. Sic & hęc formãt meus, mea, tuus, tua, noster, nostra, uester, uestra. Porrò nostra & uestra Ionica sunt. Iam ex demõstratiuis ille, illa, illud, & absq; ε pferũt Aeolico more. Cęterũ secũ dę personę demõstratiuo & ι interdũ addim⁹ in fine, idq; in singulis casibus & numeris & generibus dicentes. iste, hunc. Nimirũ ut & his quę secundũ cõnexionẽ adduntur cõiunctioni, articularibus, pnominib⁹. Nam hic dicimus & hoc. Profertur aũt gtũs secũdæ person. primitiuorũ & sic. tui & tui & tui. quemadmodum uidelicet & in prima persona. mei & mei & mei & mei, secundum dialectorũ diuersitates. Verum de his definire non est præsenti huic instituto conueniens.

Possessiua in ϵος. *κεῖνος Aeolicum.* *Variæ declinatiua.*

DE PRAEPOSITIONIBVS.



EX præpositionibus autẽ in & ἐνὶ reperitur in poëmatis per extensionem dicta. Quanq̃ ἔνι translato accentu, nõ amplius prępositio est, sed ad naturã uerbi transit. Nempe haud secus ac iuxta. Siquidẽ iuxta, pro adest ponit. & super, pro superest. In uero etiam & in dicit Attico more. Et ad ad, & ad Dorice. Item sub sub, & ab ab.

Præpositiones pro uerbis.

DE ADVERBIIS.



ADuerbiorum aũt formatio ab omnibus orationis partibus fieri potest. Nam à prudẽs nomine, formatur prudenter. à tollo uerbo, ad uerbiũ acri er. Cæterũ à scientiũ participio, scienter. A τῷ articulo, hic formaẽ. Ab horũ pronoĩe, sic.

 Aper

Σύνθετοι.

Τῶν δὲ συνθέτων καὶ ἑαυτοῦ καὶ χωρὶς τοῦ ι, μεταλαμβάνοντος τὴν δασεῖαν τοῦ αυ. αὑτοῦ.

Κτητικαί.

Καθόλου δὲ αἱ κτητικαὶ ὁμοίως τοῖς εἰς ος τριγενέσιν ἁπλοῖς ὀνόμασι παρασχηματίζονται. ὡς γὰρ ἐκεῖνα μετὰ μὲν ἄλλου τοῦ συμφώνου, τὸ θηλυκὸν παράγει εἰς η. ἔρημος, ἐρήμη. φρόνιμος, φρονίμη. μέσος, μέση. μύθος, μυθόση. μετὰ δὲ τοῦ ρ εἰς α. λαμπρὸς, λαμπρά. σοφώτερος, σοφωτέρα. οὕτω καὶ αὗται. ὁ ἐμὸς, ἡ ἐμή. ὁ σὸς, ἡ σή. ἡμέτερος, ἡμετέρα. σφέτερος, σφετέρα. Τὸ δὲ ἡμετέρη, καὶ σφετέρη Ιωνικά. Τῶν δὲ δεικτικῶν ἡ ἐκεῖνος, ἐκείνη, ἐκεῖνο, καὶ ἄνευ τοῦ ε λέγεται Αἰολέων ἔθει. Τῆς δὲ τοῦ δευτέρου προσώπου δεικτικῆς, καὶ τὸ ι ἐνίοτε προσάπτοντες τελικὸν, ἐφ' ἑκάστης πτώσεως καὶ ἀριθμοῦ τε καὶ γένους λέγομεν. οὑτοσὶ, τουτονὶ. ὥσπερ ἀμέλει καὶ ταῖς κατ' ἐπιπλοκὴν τοῦ συνδέσμου ἀρθρικαῖς ἀντωνυμίαις. ὁδὶ γὰρ φαμὲν καὶ τοδί. Λέγεται δ' ἡ γενικὴ τῆς δευτεροπροσωπούσης τῶν πρωτοτύπων, καὶ σέο, καὶ σεῖο, καὶ σέθεν καὶ σεῦ. ὥσπερ ἄρα κἀπὶ τοῦ πρώτου προσώπου. ἐμέο καὶ ἐμεῖο, καὶ ἐμέθεν, καὶ ἐμεῦ. κατὰ τὰς τῶν διαλέκτων διαφοράς. Τὸ μὲν τοι περὶ τούτων διορίσασθαι ἐν τῇ παρούσῃ προθέσει οἰκεῖον.

ΠΕΡΙ ΠΡΟΘΕΣΕΩΝ.



Ων δὲ προθέσεων, ἡ ἐν, καὶ ἐνὶ εὕρηται ἐν τοῖς ποιήμασι κατ' ἐπέκτασιν λεγομένη. ἐνὶ μέντοι μετὰ θέσει τοῦ τόνου, οὐκέτι πρόθεσις, ἀλλ' εἰς ῥηματικὸν μεταβαίνει. ὥσπερ ἀμέλει καὶ ἡ παρά. πάρα γὰρ ἀντὶ τοῦ πάρεισι. καὶ ἔπι ἀντὶ τοῦ ἔπεισιν. ἡ δὲ ας, καὶ ες λέγεται Ατ(τ)ικῶς. καὶ ἡ πρὸς, ποτὶ καὶ προτὶ Δωρικῶς. καὶ ἡ ὑπὸ, ὑπαί. καὶ ἡ ἀπὸ, ἀπαί.

ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΩΝ.



Ων δὲ ἐπιῤῥημάτων σχηματισμὸς ἀπὸ πάντων τῶν τοῦ λόγου μερῶν γένοιτ' ἄν. Από μὲν γὰρ τοῦ φρονίμων ὀνόματος, φρονίμως. Από τοῦ αἴρω ῥήματος, τὸ ἄρδην. Από δὲ τῆς εἰδότων μετοχῆς, εἰδότως. Από τοῦ τῇ ἄρθρου, τῇδε. Από δὲ τῆς τούτων ἀντωνυμίας, οὕτως.

A per pp̄ositione, sursum. Item à propè aduerbio formatur cominus. A sanè uero & ubi & θεν, fit profectò. Erunt autē & positiua q̄dam, ueluti propè, & humi. Sūt temporis significatiua etiā hæc, mox, adhuc, rursum, usq;. Loci uero & ubi, & ex aduerso. Formæ aūt localiū tres. in loco, à loco, in locū. ueluti domi, domū, domo. Similitudinis aūt, ut. ut. Cōgregatiōis definitæ & hæc. publicus, & per uniuersos, tota domo. Adhortationis uero & hæc, eia & age. Item stuporis est & ἴα. Vocet & quoddam extensiuū aduerbiū. ut tarde, lente. Aliud separatiuū definite, citra puluerē, citra laborē, neglecte. Et indefinite. seorsum, seorsum. Itē exceptiuū. p̄terq̄. Item digressiuū. itaq;. Rursum p̄hibitiuū. impedimēto. Præterea occultatiuū, clanculū. Porrò declaratiuū. luculenter, clare. Nā iuxta significatū noīa addere singulis, & infinitū fuerit, & noua indere necesse. Quare p̄stiterit fortasse decē in aduerb. quoq; genera illa ponere, substantiā, q̄litatē, q̄ntitatē, ad aliq̄d, ubi, q̄n facere, pati, poni, habere, & singula ad aliq̄d horū conari referre. Veluti substātialiter. uiue, naturaliter, referant ad substan. Bn̄, libēter, facile, canine, tanq̄, ut, ualde, admodū, paulatī, oīno, certe, uideliet, certe, etiā, mīme, nō, ne, nō, forte, en, o, legēdū, utnā, io, heus, ah, euhā, age, referuntur ad q̄litatē. Semel, bis, ter, referant ad q̄ntitatem. Heriliter, seruiliter, ęque similiter, sæpe, raro, magnopere, magis, min⁹, simul, referant ad aliq̄d. Sursum, deorsum, hic, illic, hic, p̄cul, propè, seorsum, fortis, intus, contra, humi, mox, undeubi, ultra, ultra, in medio, unde, ubi, ubi, referant ad ubi. Nūc, tūc, rursum, eousq; cū, deiñ, hodie, cras, rursum, protinus, postea, mox, repente, mox eousq;, donec, referantur ad quādo. Agiliter, speculatiue, sectim, referantur ad facere. Passiue. ficte, atq; his similia, referantur ad pati. Collectim, accruatim, separatim, seorsum, deinceps, mixte, referantur ad poni. Armate, calceate, cōplexiue, cum coronis, cum laurea, referātur ad habere. Cæterum expendendæ sunt melius horum differentiæ.

Loci aduerbia in ex. *Decē gn̄a aduerbijs.* *Substantia.* *Qualitas.* *Quātitas.* *Ad aliquid.* *Vbi* *Quādo.* *Facere.* *Pati.* *Poni.* *Habere.*

De

Ἀπὸ δὲ τῆς ἀνὰ προθέσεως, ἄνω. Ἀπὸ δὲ τοῦ ἐγγὺς ἐπιῤῥήματος, ἐγγύθεν. Ἀπὸ δὲ τοῦ δὴ, καὶ ποὺ καὶ θὲν συνδέσμων, δήπουθεν. εἴη δ᾽ ἂν καὶ θεματικὰ ἄλλα, οἷόν τι τὸ ἐγγὺς καὶ χαμαί. Ἔστι δὲ χρόνου σημαντικὰ καὶ τὸ ἄψ. ἔτι, πάλιν, μέχρι. τόπου δὲ καὶ τὸ ἵνα, καὶ ἀπάντικρυ. Σχέσεις δὲ τῶν τοπικῶν, τρεῖς. ἐν τόπῳ, ἐκ τόπου, εἰς τόπον. οἷον, οἴκοι, οἴκαδε, οἴκοθεν. Ὁμοιώσεως δὲ ἠὺ, ἠΰτε. Ἀθροίσεως δὲ διωρισμένου τοῦ, καὶ τὸ πανδημεὶ, καὶ πασσυδὶ, πανοικί. Παρακελεύσεως δὲ καὶ τὸ εἶα, καὶ ἴθι. καὶ ἐκπληκτικὸν ἔτι τὸ ἔα. καλείσθω δὲ καί τι παραστατικὸν ἐπίῤῥημα. οἷον τὸ χρονίως καὶ ἐκσταδόν. Καὶ διαιρετικὸν ὡρισμένως. ἀκουντὶ, ἀπονητὶ, ἀμελητί. Καὶ ἀορίστως. ἄνευ, ἄτερ. Καὶ ἐξαιρετικὸν, τὸ πλήν. Καὶ ἀποστατικὸν τὸ ὥστε. Καὶ διακωλυτικὸν τὸ ἐμποδών. Καὶ ἐπικρυπτικὸν τὸ λάθρα. καὶ ἐμφατικὸν, τὸ διαῤῥήδην, ἀναφανδόν. ἀλλὰ γὰρ τὸ πρὸς τὸ σημαινόμενον ὀνομάζειν καθ᾽ ἕκαστον ἄπειρόν τε, καὶ ὀνοματεθεῖν ἀνάγκη. Διὸ δὴ καὶ ἄμεινον ἴσως δέκα καὶ τῶν ἐπιῤῥημάτων γένη θέσθαι ἐκεῖνα. οὐσίαν, ποιὸν, ποσὸν, πρός τι, ποῦ, πότε, ποιεῖν, πάσχειν, κεῖσθαι, ἔχειν. Καὶ ἕκαστα ἐπί τι τούτων πειρᾶσθαι ἀνάγειν. Οἷον, οὐσιωδῶς, ἐμψύχως, φυσικῶς, ἀναφέρεται ἐπὶ τὴν οὐσίαν. Εὖ, ἡδέως, ῥᾳδίως, κυνηδὸν, ὥσπερ, ὥστε, λίαν, πάνυ, ἠρέμα, πάντως. ἦ δηλαδὴ, νὴ, ναὶ, ἥκιστα, οὐ, μὴ, μὰ, ἴσως, ἰδοὺ. ὦ, ἀναγνωστέον, εἴθε, ἰοὺ, φεῦ, ἆ, εὐάν, ἄγε. ἀναφέρεται ἐπὶ τὸ ποιόν. Ἅπαξ, δίς, τρίς. ἀναφέρεται ἐπὶ τὸ ποσόν. Δεσποτικῶς, δουλικῶς, ἴσως, ὁμοίως, πολλάκις, ὀλιγάκις, μεγάλως, μᾶλλον, ἧττον, ἅμα, ἀναφέρεται ἐπὶ τὸ πρός τι. Ἄνω, κάτω, ὧδε, ἐκεῖ, ἐνθάδε, πόῤῥω, ἐγγύς, χωρίς, ἔξω, ἔσω, ἐναντίον, χαμαί, ἄψ, ὅθεν, ἔνθα, ἐπέκεινα, πέραν, μεταξὺ, ἔνθεν, ὅθι. ἵνα ἀναφέρεται ἐπὶ τὸ ποῦ. Νῦν, τότε, αὖθις, τέως, ἡνίκα, ἔπειτα, σήμερον, αὔριον, πάλιν, εὐθὺς, ὕστερον, παραχρῆμα, ἐξαίφνης, αὐτίκα, ὄφρα, τόφρα. ἀναφέρεται ἐπὶ τὸ πότε. Δραστικῶς, θεωρητικῶς, τμήδην. ἀναφέρεται ἐπὶ τὸ ποιεῖν. Παθητικῶς, πεποιημένως, ἀναφέρεται ἐπὶ τὸ πάσχειν. Συλλήβδην, ἀθρόως, ἄνευ, χωρίς, ἐφεξῆς, μίγδην. ἀναφέρεται ἐπὶ τὸ κεῖσθαι. Ὡπλισμένως, ὑποδεδεμένως, περιεκτικῶς, στεφανοφόρως, δαφνοφόρως. ἀναφέρεται ἐπὶ τὸ ἔχειν. Σκεπτέον δὲ βέλτιον τὰς διαφοράς.

DE CONIVNCTIONIBVS.


Oniunctiones copulatiuæ sunt hæ quoq;, atque, atq;, ast, at, siue. Disiunctiua uero, etiam uel. Causalis item, ut, ut, ut. Expletiua itidem, & hæc, utiq;, quæ & utiq; dicitur, & quidem, quidē. Aduersatiua autem & hæc, tamen, & hęc nisi. Ac multæ quidem eædem uaria notando proferuntur, ut sed, simul & copulatiue & rationatiue. γε uero expletiue, & dimiuutiue, & rationaliter. Cæterum hæc αρ expletiue significat, & rationatiue, ac circumscriptiue. περ uero & aduersatiue, & diminutiue. Rursum q̃m & causaliter, & cōfirmatiue. Autē uero & copulatiue & rationatiue & circūscriptiue. At de octo quidē orationis partib⁹, quæ & ad inflexionē, & ad formationē pertinebāt, ac cōmodate dicta sint, & sufficiēter, ut in secūdo institutionis uolumine.

FINIS SECVNDI.

THEODO.

ΠΕΡΙ ΣΥΝΔΕΣΜΩΝ.



Υνδεσμοι μὲν συμπλεκτικοί. καὶ ἠμέν, ἠδέ, ἀτάρ, αὐτάρ, ἤτοι. Διαζευκτικός δέ, καί, ἤ. Αἰτιολογικός δέ, καί, ὄφρα, ἕνεκα, οὕνεκα. Παραπληρωματικός δέ, καὶ ὁ νύ. ὅς καὶ νῦν λέγεται, καὶ θήν, ἄν, ἄρ, κέν. Εναντιωματικὸς δέ, καὶ ὁ ἔμπης, καὶ ὁ πλήν. Καὶ πολλοὶ δὲ οἱ αὐτοὶ πολλασήμως λέγονται. οἷον ὁ μὲν ἀλλά. καὶ συμπλεκτικῶς. καὶ συλλογιστικῶς. ὁ δέ γε παραπληρωματικῶς, καὶ μειωτικῶς, καὶ αἰτιολογικῶς. Ο δὲ ἄν παραπληρωματικῶς, καὶ συλλογιστικῶς καὶ περιγραφικῶς. Ο δὲ περ καὶ ἐναντιωματικῶς, καὶ μειωτικῶς. Ο δὲ ὅτι καὶ αἰτιολογικῶς, καὶ ἐπιβεβαιωτικῶς. Ο δὲ δὲ καὶ συμπλεκτικῶς, καὶ συλλογιστικῶς καὶ περιγραφικῶς. Καὶ περὶ μὲν τῶν ὀκτὼ τοῦ λόγου μερῶν, ταῦτα ἔτι εἰς κλίσιν. τε καὶ σχηματισμὸν συμμέτρως εἰρήσθω, καὶ ἱκανῶς, ὡς ἐν δευτέρῳ εἰσαγωγῆς.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΘΕΟΔΟ.

THEODORI GRAMMATICAE INSTITVTIONIS LIBER TERTIVS.



Einceps uero eodẽ mõ de accentu syllabæq̃ cũ q̃ntitate, tũ ortographia dicẽdũ erit, ne uidelicet circa dictionẽ uitium barbarismi cõtingat. Barbare eñ qs loq dep̃hẽdit, uel defectu. ut δημοθένς. uel abũdãtia. ut ἀισχίνυς. uel ĩmutatione. ut ἀνεία. aut tẽpore, aut accẽtu, aut scriptura. ut in dictione νίκος per ι scripta cũ deberet per ει scribi. Atq̃ ad rectitudinem qdẽ, eaq̃ q̃ circa defectũ & abũdantiã atq̃ immutationẽ ꝓferunt, illa pertinẽt q̃ superius de inflexiõe atq̃ formatione dicta sunt. De reliquis iam dicendũ nobis erit, diuidentib. ac definientib. singula.

Barbare loqui.

DEFINITIO ACCENTVS.

Accẽtus igitur est extẽsio q̃dã uocis literatæ ad concinnitatẽ totius orationis. Sũt aũt p̃ter superius dictos octo, & lõgus quidã, & breuis, hoc pacto notati – υ. Vocãtur aũt hi tẽpora, qm̃ super uocales positi, alterutrũ efficiũt tẽporũ, uocalẽ scilicet aut longã aut breuẽ illi appositi distinguũt, qñ potẽtia utrũq̃ sit. Erat itaq̃ olim fortasse nõ solũ ι & ο locus huiusmodi notis, sed & α quoq̃ & ι, atq̃ υ. nũc aũt super ι & ο inutiles. Siquidẽ η & ω assumẽtes scribimus. In his uero q̃ uocant̃ ancipites, usus est earũ ꝓrsus nullus, unde soli poẽtę poterũt esse usui.

Longus – Breuis υ

Sic igitur accẽtus in quatuor diuidatur, nẽpe in tonũ, tẽpus, spiritũ, passionẽ. Est aũt tonus intensio uel remissio uel moderatio sylla. uocalitatẽ habens. Nimirum acutus intẽsum habet sonũ, grauis remissum, circũflexus mediũ.

Accentus diuisio. Tonus.

Tempus uero est productio, uel correptio uocalis. Producitur nanq̃ longa, corripitur uero breui.

Tempus.

Spiritus autẽ est qualitas mutatoria cõsonantiũ siue in asperã, siue in tenuẽ. Per asperũ eñ tenuis mutat̃ in asperam in compositione. dux, deductor. per tenuẽ, manet & tenuis. rogo, interrogo.

Spiritus.

ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ ΕΙΣ ΤΕΣΣΑΡΑ ΤΟ. Γ.



Ἑξῆς δὲ κατὰ τὸν αὐτὸν τρόπον περὶ προσῳδίας καὶ συλλαβῆς ποσότητός τε καὶ ὀρθογραφίας λεκτέον, ἵνα μὴ τὸ περὶ λέξιν ἁμάρτημα ὁ βαρβαρισμὸς συμβαίνῃ. Βαρβαρίζων γάρ τις ἐλέγχεται, ἢ ἐνδείᾳ. δημοσθένου. ἢ πλεονασμῷ. αἰσχίνους. ἢ ἐναλλαγῇ. αἰνεία. ἢ χρόνῳ, ἢ προσῳδίᾳ, ἢ γραφῇ, νίκος τῷ ι, δέον τῇ ει. Καὶ εἰς μὲν τὸ ὀρθὸν, παρά τε ἔνδειαν καὶ πλεονασμὸν καὶ ἐναλλαγὴν, οἰκεῖα τὰ ἔμπροσθεν περὶ κλίσεως καὶ σχηματισμοῦ εἰρημένα. Περὶ δὲ τῶν λοιπῶν νῦν λεκτέον, διαιροῦντας ἕκαστα πρότερον, καὶ ὁριζομένους.

ΟΡΟΣ ΠΡΟΣΩΔΙΑΣ.

Προσῳδία μὲν οὖν ἐστὶ τάσις ποιά τις φωνῆς ἐγγραμμάτου, πρὸς εὐφωνίαν τοῦ ὅλου λόγου. Ἐστὶ δὲ πρὸς ταῖς πρότερον εἰρημέναις ὀκτὼ, καὶ μακρά τις καὶ βραχεῖα, οὕτω γραφόμεναι - υ. Χρόνοι δὲ αὗται καλοῦνται, ὅτι ἐπὶ τῶν φωνηέντων τιθέμεναι, θάτερον ἐμποιοῦσι τοῖν χρόνοιν, ἤτοι γὰρ μακρὸν, ἢ βραχὺ, ὃν ἐπὶ τοῦ δὲ διορίζονται, τὸ δυνάμει ἀμφότερα ὄν. ἦν μὲν οὖν πάλαι ἴσως οὐ μόνον τὸ ε καὶ ο τόπος τοῖς τοιούτοις σημείοις, ἀλλὰ καὶ τὸ α, καὶ ι, καὶ υ. νῦν δὲ ἐπὶ μὲν τοῦ ε, καὶ ο περιττά. Τὸ γὰρ η καὶ ω μεταλαμβάνοντες, γράφομεν. ἐπὶ δὲ τῶν καλουμένων διχρόνων χρῆσις οὐκ ἔστιν αὐτῶν οὐδεμία. ὥς τι μόνῳ ἂν τῷ μετρικῷ εἶεν ἐν χρήσει.

Οὕτω μὲν οὖν ἡ προσῳδία εἰς τέτταρα διαιροῖτ' ἄν. οἷον εἰς τόνον, χρόνον, πνεῦμα, πάθος. Ἐστὶ δὲ τόνος, ἐπίτασις ἢ ἄνεσις ἢ μεσότης συλλαβῶν, εὐφωνίαν ἔχουσα. Ἡ μὲν γὰρ ὀξεῖα, τὸ ἐπιτεταμένον ἔχει τοῦ φθόγγου, ἡ δὲ βαρεῖα τὸ ἀνειμένον, ἡ δὲ περισπωμένη τὸ μέσον. Χρόνος δὲ ἔκτασις, ἢ συστολὴ φωνήεντος. Ἐκτείνεται μὲν γὰρ τῇ μακρᾷ, συστέλλεται δὲ τῇ βραχείᾳ.

Πνεῦμα δὲ ποιότης τρεπτικὴ συμφώνων, ἤτοι εἰς δασὺ, ἢ εἰς ψιλὸν. τῇ μὲν γὰρ δασείᾳ τὸ ψιλὸν τρέπεται εἰς δασὺ ἐν τῇ συνθέσει. ἡγεμὼν, καθηγεμών. τῇ δὲ ψιλῇ φυλάττεται. ἐρωτῶ, ἐπερωτῶ.

Πάθος

Passio. Passio aũt est q̃litas uocis affectę, uel per ablationẽ uocalis, uel per cõpositionẽ dictionis, uel per subdistinctionẽ. Apostrophus ablatio est uocalis. ut hoc est. uel uocaliũ. ut uolo ego. Auferunt & α, & ι breues existentes. ut, uidelicet hic, ꝓ uidelicet hic. in nobis, ꝓ in nobis. & ο & ε. hoc meũ, hoc meũ. age dic, age dic. Subunio aũt coitus duarum dictionũ est. ut quõcunqȝ. Subdistinctio uero contra, dissolutio q̃dã est duorũ. ut quisq̃s. Per talẽ utiqȝ tenorẽ syll. ad id, qđ est cõcinni⁹, alia q̃dẽ ꝓductas hñt, alia uero correptas. alia itẽ acutas, alia graues, alia circũflexas: quẽadmodũ rursum alia quidẽ asperas, alia uero leues.

Apostrophus. Subunio. Subdistinctio.

DE SYLLABA.

Syllabæ pręterea, unde dictiones, pars minima constructę orõis. Fuerit itaqȝ & syllaba. coitus q̃dẽ ad minimũ duarũ literarũ, subiecta in primis accentui. Dicitur tamẽ abusiue & una litera syllaba. ut α ι. Fit aũt multipharia ratione multarũ & diuersarũ cõnexionũ literarum. Estqȝ eiusmodi, alia quidẽ longa, alia breuis, alia anceps. Longa quidẽ, quæ habet natura longã uocalẽ, uel aliquam diphthongorum, siquidẽ diphthõgi omnes longæ sunt. Natura quidẽ tripliciter, uel sono longę uocalis. ut heros. uel extẽsione ancipitis. honestus. uel diphthongo. ut Aiax. Positione aũt uno modo, duobus sequentib. conso. siue actu, ut panis. siue potẽtia, agam, uerberabo. Breuis uero, q̃ hẽt uel natura breuẽ uoca. ut sermo. uel ancipitẽ correptã. ut amicitia. Cęterũ coĩs, q̃ potest eadẽ & longa accipi, & breuis, atqȝ hoc tripliciter. Verũ de his dicere, speculationis est alterius.

Syllabarũ diuisio. Longa. Breuis. Coĩs.

LOCI ACVTI ACCENTVS.

Caeterũ cũ tres sint loci acuti accẽt⁹, ultima, penult. & antepenul. Acuitur q̃dẽ ultima semper, si breuis sit. bonus. Super breuẽ eñ circũflexus nõ ponitur, longa uero nõ semper. Penult. aũt, q̃ñ uel ipsa est breuis, & ultĩa. sermo. uel ipsa lõga, & ultĩa. heros. Lõga eĩ añ lõgã nõ inflectit. Vel ipsa q̃dẽ breuis, ultĩa uero lõga. amor. Añpenult. itidẽ, nisi ultĩa lõga impediat. herois. Nã cũ lõga est ultima, nõ potest antepena acui dictio lingua cõi.

Loci acuti tres.

Loci

Πάθος δέ, ποιότης φωνῆς πεπονθυίας, ἤτοι δι᾽ ἀφαίρεσιν φωνήεντος, ἢ διὰ σύνθεσιν λέξεως, ἢ δι᾽ ὑποδιαστολήν. Ἡ μὲν γὰρ ἀπόστροφος, ἢ φωνήεντος. τοῦτ᾽ ἐστίν, ἢ φωνηέντων. βούλομ᾽ ἐγώ. ἀφαιρεῖται δὲ τό, τε α καὶ ι βραχέα ὄντα. ἆρα οὗτος, ἆρ᾽ οὗτος. ἐπὶ ἡμῖν, ἐφ᾽ ἡμῖν. καὶ τὸ ο καὶ ε. τοῦτο ἐμόν, τοῦτ᾽ ἐμόν. φέρε εἰπέ, φέρ᾽ εἰπέ. Ἡ δὲ ὑφὲν συνάφεια δυοῖν λέξεών ἐστιν. οἷον ὅπως οὖν. Ἡ δὲ ὑποδιαστολὴ τὸ ἀνάπαλιν. διαίρεσις γάρ τις δυοῖν οἷον ὅς, τις. Τοιαύτη μὲν δὴ ποιᾷ τάσει τῶν συλλαβῶν, ἐστὶ τὸ εὐφωνότερον, τὰ μὲν μηκυνόμενα ἔχει, τὰ δὲ συστελλόμενα. καὶ τὰ μέν, ὀξυνόμενα, τὰ δὲ βαρυνόμενα, τὰ δὲ περισπώμενα. ὥσπερ ἂν πάλιν, τὰ μὲν δασυνόμενα, τὰ δὲ ψιλούμενα.

ΠΕΡΙ ΣΥΛΛΑΒΗΣ.

Συλλαβαὶ δὲ ταῦτα, ὅθεν αἱ λέξεις, μέρος ἐλάχιστον τῆς κατὰ σύνταξιν λόγου. ὥστε καὶ εἴη ἂν συλλαβὴ συνέλευσις μὲν τοὐλάχιστον δύο γραμμάτων, πρώτως δ᾽ ὑποκείμενον προσῳδίας. λέγεται μέντοι καταχρηστικῶς καὶ τὸ μονογράμματον συλλαβή. οἷον, α, ε. Γίνεται δὲ πολλαχῶς κατὰ λόγον τῶν πολλῶν τε, καὶ διαφόρων ἐπιπλοκῶν τῶν γραμμάτων καὶ ἔστιν αὐτῆς τὸ μὲν μακρόν, τὸ δὲ βραχύ, τὸ δὲ κοινόν. Μακρὸν μέν, τὸ ἔχον φύσει μακρὸν φωνῆεν, ἢ μίαν τινὰ τῶν διφθόγγων. αἱ γάρ τοι δίφθογγοι πᾶσαι μακραὶ εἰσί. Φύσει μὲν τριχῶς. ἤτοι γὰρ φθόγγῳ μακροῦ φωνήεντος. οἷον ἥρος. ἢ ἐκτάσει διχρόνου. οἷον καλός. ἢ διφθόγγῳ. οἷον Αἴας Θέσει δέ, μοναχῶς, δυοῖν ἐπιφερομένοιν συμφώνοιν, ἤτοι ἐνεργία, ἄρτος. ἢ δυνάμει, ἄξω, τύψω. Βραχὺ δέ, τὸ ἔχον ἤτοι φύσει βραχὺ φωνῆεν. οἷον λόγος. ἢ δίχρονον συστελλόμενον. οἷον φιλια. Κοινὸν δέ, τὸ δυνάμενον τὸ αὐτὸ μακρόν τε λαμβάνεσθαι, καὶ βραχύ. τριχῶς δὲ τὸ τοιοῦτο. Καὶ τὸ περὶ τούτων εἰπεῖν θεωρείας ἑτέρας.

ΤΟΠΟΙ ΤΗΣ ΟΞΕΙΑΣ.

Τριῶν δὲ ὄντων τόπων τῇ ὀξείᾳ, λήγοντος, παραλήγοντος, προπαραλήγοντος. ὀξύνεται μὲν ἡ λήγουσα ἀεί, οὖσα βραχεῖα. ἀγαθός. ἐπάνω γάρ τοι βραχείας περισπωμένη οὐ τίθεται. μακρὰ δὲ οὐκ ἀεί. ἡ παραλήγουσα δέ, ὅταν ἡ αὐτή τε βραχεῖα ᾖ, καὶ ἡ λήγουσα. λόγος. ἢ αὐτή τε μακρά, καὶ ἡ λήγουσα. ἥρως. μακρὰ γὰρ πρὸ μακρᾶς οὐ περισπᾶται. ἢ αὐτὴ μὲν βραχεῖα, ἡ λήγουσα δὲ μακρά. ἔρως. ἡ προπαραλήγουσα δέ, ἢν μὴ ἡ λήγουσα μακρὰ οὖσα κωλύῃ. ἥρωος. μακρᾶς γὰρ οὔσης ἐπὶ τέλους, οὐ δύναται προπαροξυνθῆναι λέξις κοινή.

Loci circunflexi.

Circunflexi autē cū loci sint duo, ultima & penultima. (siquidē ante duas syllabas circūflexus nō ponit.) penultima quidē anteflectit, ubi & ipsa natura longa est, & ultima natura breuis. popul'. Nā super positiōe longā, circūflexus nō ponit, q̄obrē dicit. Qd' oīs natura lōga, ante breuē finalē, in una parte orōis existēs, & in seipsa hītis accentū, circūflectit. Vltima uero, si breuis sit, nunq̄. Lōga aūt ex cōtractiōe, semper circūflectit, sin aliter natura, nō itē.

Regula.

Loci spirituum.

Asper autem & tenuis in principijs dictionum, ut ante dictum est, ponuntur super uocales. Quęlibet enim uocalium dictionem incipiens, uel aspiratur, uel tenuatur. In quibus uero uter, post dicemus.

DE VSV TONORVM in unoquoq; casuum.

NVnc aūt & tonorū & tēporū usum, ut se habeat circa dictas parteis orationis, inspiciamus. supponētes rursus nominū alia esse primæ inflexionis, alia secundæ, alia tertiæ, alia quartæ, alia quintæ. Præterea & uerborum eodē modo alia primæ coniuga. alia secundæ, alia tertiæ, alia quartæ, alia quintæ. Et nomina quidē per casus uariata, uerba uero coniugata per tempora, quemadmodū diuidentes uocabamus prius.

Rectus singularium.

Cōmune quidē est nominibus omnibus rectū nō contractum acui, si in ultima est accentus.

Nomina Primæ inflexionis.

Primæ aūt inflexionis grauisonus rectus semper penacuitur. Aeneas, Chryses. Pręter uerbalia quę à pręterito perfecto sunt. poēta, iudex, iudex.

Nomina Secundæ.

Secundæ uero inflexionis, alia quidem acuta. uirtus. Alia itē penāflexa, & penacuta. musa, regio. Cæterū antepenacuta aliqua cōposita. Empusa. At finientiū in α, in penultima est tonus ut plurimū, si longa sit. musa, regio. In ~ uero purū dissyllaba ο hītia in penul. quib' præponitur asper, graui notētur plerunq;. axecla, uomica, herba.

Τόποι περισπωμένης.

Τῇ δὲ περισπωμένῃ τόπων δύο ὄντων, ληγούσης καὶ παραληγούσης. πρὸ γάρ τοι δυοῖν συλλαβῶν περισπωμένη οὐ τίθεται. ἡ μὲν παραλήγουσα περισπᾶται, ὅταν αὐτή τε ᾖ φύσει μακρὰ, καὶ ἡ λήγουσα φύσει βραχεῖα. δῆμος. ἐπὶ γὰρ θέσει μακρᾶς περισπωμένη οὐ τίθεται. διὸ καὶ λέγεται, ὅτι πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς ἐν ἑνὶ μέρει λόγου οὖσα, καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται. ἡ δὲ λήγουσα βραχεῖα μὲν οὖσα, οὐδέποτε. μακρὰ δὲ ἐκ συναιρέσεως ἀεὶ, εἰ δ' ἄλλως, οὐκ ἀεί.

Τόποι πνευμάτων.

Ἡ δὲ δασεῖα καὶ ἡ ψιλὴ κατ' ἀρχὰς τῶν λέξεων, ὡς προείρηται, τίθεται ἐπὶ τῶν φωνηέντων. ἕκαστον γάρ τοι τῶν φωνηέντων ἀρκτικὸν ὂν, δασύνεται, ἢ ψιλοῦται. ἐπὶ τίνων δὲ πότερον, ὕστερον ἐροῦμεν.

ΠΕΡΙ χρήσεως τόνων ἐφ' ἑκάστης τῶν πτώσεων.

ΝΥν δὲ τὴν τῶν τόνων καὶ χρόνων χρῆσιν, ὅπως ἔχει περὶ τὰ διῃρημένα μέρη τοῦ λόγου, θεωρῶμεν. λαβόντες πάλιν τῶν ὀνομάτων τὰ μὲν πρωτόκλιτα, τὰ δὲ δευτερόκλιτα. τὰ δὲ τριτόκλιτα, τὰ δὲ τεταρτόκλιτα, τὰ δὲ πεμπτόκλιτα. καὶ τῶν ῥημάτων δὲ ὁμοίως. τὰ μὲν πρωτόζυγα, τὰ δὲ δευτερόζυγα, τὰ δὲ τριτόζυγα, τὰ δὲ τεταρτόζυγα, τὰ δὲ πεμπτόζυγα. καὶ τὰ μὲν ὀνόματα εἰς πτώσεις κλινόμενα, τὰ δὲ ῥήματα εἰς χρόνους, καθάπερ διαιροῦντες ὠνομάζομεν πρότερον.

Εὐθεῖα ἑνικῶν.

Κοινὸν μὲν οὖν τῶν ὀνομάτων ἁπάντων, τὸ τὴν εὐθεῖαν μὴ ἐκ συναιρέσεως οὖσαν ὀξύνεσθαι, ἂν ἐπὶ τῆς ἐσχάτης ὁ τόνος.

Πρωτόκλιτα.

Τῶν δὲ πρωτοκλίτων βαρύτονος ἀεὶ ἡ εὐθεῖα παροξυτονουμένη. Αἰνείας, Χρύσης. πλὴν τῶν ἀπὸ παρακειμένου. ποιητής, κριτής, δικαστής.

Δευτερόκλιτα.

Τῶν δὲ δευτεροκλίτων, τὰ μὲν ὀξύτονα. ἀρετή. τὰ δὲ προπερισπώμενα, καὶ παροξύτονα. μοῦσα, χώρα. καὶ προπαροξύτονα δὲ ἔνια τῶν συνθέτων. ἔμπουσα. Ληγόντων γε μὴν εἰς α, ἐπὶ τῆς παραληγούσης ὁ τόνος ὡς ἐπιτοπολὺ μακρᾶς οὔσης. μοῦσα, χώρα. Τὰ δὲ εἰς η καθαρὸν δισύλλαβα τῷ ο παραληγόμενα, οἷς προηγεῖται δασὺ, βαρύνεται ὡς ἐπιτοπλεῖστον. χνόη, φθόη, χλόη.

Regula. Vniuerſaliter autẽ cũ maſculinis fœminina conueniunt. Quamobrem uidendum, ſi quod ex fœmi. triũ ſit gene. nam diuina graue eſt, qa hmõi & diuinus. pulchra uero & bona acuta, quod pulcher quoq; & bonus acuantur.

Nomina Tertiæ.

Cæterũ tertiæ inflexiõis alia quidẽ acuta. frugi. alia pe *Poſſeſſiua in κον, ιον, νον.* nacuta. ſermo. alia antepenacuta. iuſtus. Vt ex poſſeſſiuis alia quidẽ in κον acuta oĩa. ut atticũ. alia uero in εον antepenacuta. ut aiacinũ. & q̃ ſunt à locis denominata, in ιον antepena. cœleſte. Itẽ à materialibus in νον. lapideum. & q̃ à p̃to paſſiuo uerborũ quartæ, ſiue ſint ꝑpria, ſiue adiectiua. nõ apparẽs, diophãtus, ſine cantu, nõ ſatus. Et quæ *τν* ueluti materialia cũ τν cõpoſita efferũtur. muſicũ, mẽſura *Compoſita.* tũ. Gñaliter etiã cõpoſita. utĩ multis, aĩaduerſum, aſſimile. & prorſus trochaica in cõpoſitiõe transferunt accentũ. *Occido.* ſeruus, bon⁹ ſeru⁹, tẽpus, ꝑcox. Preterea q̃ ab occido compoſita paſſiua. enſe occiſus, à lupo occiſus. Nã actiua pe. acuũt. q enſe occidit, q lupũ occidit. Ad hũc aũt modũ, & *Nutrio.* q̃ à nutrio. à populo nutritus, nã populũ nutriẽs penacuit. *Verto.* Sic utiq; & à uerto cũ ꝑpoſitione cõpoſita antepe. acuũt. famulus, miniſter. cũ alia uero parte penul. acuit. ſomniorũ interp̃s, ſacerdos, pen. Itidẽ acuũt alia multa diſſyllaba appellatiua. ſermo. Queãdmodũ & ultimã multa diſſyllaba. Itidẽ adiectiua. ſuauis, grauis. Cæterum diſſylla. in*Interrogatiua.* terrogatiua. qualis, quãtus. indefinite capta acuũtur. q̃lis, quãtus. Verũ in ſumma, q̃ ueniũt à ptõ perfecto paſſiuo *à ptõ perfecto paſſiuo.* circũflexorum, acuũtur. laudatus, uiſibilis, cultus, uindemiatio. & ſi qd ex acutiſonis eliſionẽ patiat, idẽ accẽt⁹ ſeruatur, ad p̃cedentẽ reiectus. grauia, grauia carmina ſunt.

Nomina Quartæ inflexionis.

Nominũ aũt quartæ Atticorũ maiorũ duab⁹ ſyl. añpenacutus ſemper eſt rectus, etiã ſi lõga ultima ſit. Atticorũ uero eſt hoc. ut Menela⁹, ferax. Quę uero Dorice ablatõe σ inflectunt, diuerſa ſunt. Alia nãq; grauia. Diondas. Alia anflexa. podes. Cæterum penanflexum unum. lapis.

Nomina Quintæ.

Nomina. lo. Per quintã uero inflexorũ in αν ſimplicia q̃dẽ, acuant in

recto

Καθόλου γε μὴν τοῖς ἀρσενικοῖς τὰ θηλυκὰ ἕπεται. ὥς τε καὶ σκεπτέον, ἔτι τῶν θηλυκῶν τριγενές. τὸ μὲν γὰρ θεία βαρύτονον, ὅτι καὶ τὸ θεῖος. τὸ δὲ καλὴ καὶ ἀγαθὴ ὀξύτονον, ὅτι τὸ καλὸς καὶ ἀγαθός.

Τριτόκλιτα.

Καὶ τῶν τριτοκλίτων δὲ τὰ μὲν ὀξύτονα. χρυσός. τὰ δὲ παροξύτονα, λόγος. τὰ δὲ προπαροξύτονα. δίκαιος. οἷον τῶν κτητικῶν, τὰ μὲν εἰς κον ὀξύτονα πάντα, ἀττικόν. τὰ δὲ εἰς ειον προπαροξύτονα. μαντεῖον. καὶ τὰ ἀπὸ τόπων δὲ παρωνομασμένα εἰς ιον, προπαροξύτονα. οὐράνιον. καὶ τῶν μετουσιαστικῶν, τὰ εἰς νον. λίθινον. καὶ τὰ ἀπὸ παρακειμένου παθητικοῦ τῶν τεταρτοσυζύγων, εἴτε κύρια, εἴτε ἐπίθετα. ἄφαντος, διόφαντος, ἄψαλτος, ἄσπαρτος. καὶ τὰ ὡς μετουσιαστικὰ συνθέσει τῆς ἐν λεγόμενα. ἔμμουσον, ἔμμετρον. καὶ ὅλως τὰ σύνθετα. ὡς ἐπιτοπολύ, ἔνθυμον, παραπλήσιον. καὶ ἁπλῶς τὰ τροχαϊκὰ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. δοῦλος, εὔδουλος, ὥρα, πρόωρος. καὶ τὰ ἀπὸ τοῦ κτείνω σύνθετα παθητικά. ξιφόκτονος, λυκόκτονος. ἐνεργητικὰ δὲ παροξύνεται. ξιφοκτόνος, λυκοκτόνος. ὡσαύτως δὲ καὶ τὰ ἀπὸ τοῦ τρέφω. λαότροφος μέν. λαοτρόφος δὲ παροξυτόνως. ὥσπερ ἄρα καὶ τὰ ἐκ τοῦ πολῶ, μετὰ μὲν προθέσεως προπαροξύνεται. πρόπολος, ἀμφίπολος. μεθ᾽ ἑτέρου δὲ παροξύνεται. ὀνειροπόλος, θυηπόλος. παροξύνεται δὲ τὰ πολλὰ τῶν δισυλλάβων προσηγορικῶν. λόγος. ὥσπερ ἄρα ὀξύτονα τὰ πολλὰ τῶν δισυλλάβων ἐπιθέτων. χρυσός, δεινός. τάχε μὴν δισύλλαβα τῶν ἐρωτηματικῶν. ποῖος, πόσος. ἀοριστούμενα ὀξύνεται. ποιός, ποσός. Καθόλου δὲ τὰ ἀπὸ παρακειμένου παθητικοῦ τῶν περισπωμένων, ὀξύνεται. ἐπαινετός, θεατός, ἀροτὸς, τρυγητός. καὶ εἴτι δὲ τῶν ὀξυτονουμένων ἔκθλιψιν πάθοι, ὁ αὐτὸς τόνος φυλάττεται ἀναβιβαζόμενος. δεινὰ, δείν᾽ ἔπη πέλει.

Τετάρτόκλιτα.

Τῶν δὲ τετάρτοκλίτων Ἀττικῶν ὑπερδισυλλάβων, προπαροξύτονος ἀεὶ ἡ εὐθεῖα, καί τοι μακροκατάληκτος οὖσα. Ἀττικῶν δὲ τὸ τοιοῦτο. Μενέλεως, εὔγεων. τὰ δὲ Δωρικῶς ἀφαιρέσει τοῦ σ κλινόμενα διαφορεῖται. τὰ μὲν γὰρ βαρύτονα. Διώνδας. τὰ δὲ περισπώμενα. ποδῆς. καὶ προπερισπώμενον δὲ ἕν. τὸ λᾶας.

Πεμπτόκλιτα.

Τῶν δὲ πεμπτοκλίτων, τὰ μὲν εἰς αν ἁπλᾶ ὀξυτονεῖται ἐπ᾽

ci. πᾶν ας. recto oīa, Pan. nisi id, qd' est ab oīs, oīe. Itē in ας fœ. & oīs
αις αξ. nino per δ declinata. ternio, Arcas. Præterea in αις, & αξ
ις purū. monosyl. nō cōtracta. cōuiuiū, pasta, capra. Itē per ις pu:
ηρ. rū adiectiua. nobilis. Rursum in ηρ (quorū nō est formatio
ηρ. neutri) multa, simplicia qdē existētia. collū, canalis. Porrò
μήτηρ. in ηρ, ut simpliciter dicam. saluator, pater. Mater tñ & filia
ιν. penacute pferunt. Præterea in ιν bitermina simplicia. na
ις patrony. sus. Rursum in ις patrony. priamis. uel etiā à noībus in ος
υς trigña. tertiæ infle. seru⁹, serua. captiuus, tiua. garrulus, rula. Cæ
tērū in υς trigña, uel per δ declinata, uel ultima lōga. iucū
dus, chlamys, multitudo. Alia aūt penacute. Ad hæc in
ων. ων cōtentiua, uel q̄si cōtētiua, cubiculū, deceptor. Itē in ω,
ω ως fœ. & in ως fœminina. Latona, pudor. Præterea in ευς. Achil:
ευς. les, Peleus. Dores tamē & hæc penacuunt. Achilles, Pe:
αν compo. leus. In αν uero cōposita, penacuuntur. Hermopan. Itē in
ας dissyl. ας dissyllaba. Aiax, Calchas, Atlas. Præterea in ας neut.
ας neut. caro, cornu. Itē in αξ, & oīno in ξ desinen. simplicia supra
ξ ιν cōpo. unā sylla. rapax, perdix. Rursum in ιν cōposita, uel quorū
ης. neutri formatio in ες. longa ceruice, nasut⁹, tener. Itē in ης
ις. à noībus in ος neutris cōposita, ppria, & in ις appellatiua,
& propria simplicia, dissyllaba breui pen. Demosthenes,
ων nō cō. serpens, Paris. Itē in ων nō cōtractū, ppria, & adiectiua, &
ις pollysyl. gentilia. ut Theō, felix, Teutō. In ις uero plusq̄ disyllaba,
per δ declinata, uel per τ, añpenacuūt. ut Adonis, Eupo
lis, gratiosus, extern⁹. At in uniuersum, q̄ ex disyl. quintæ
declina. grauisionis cōponūt, retrahūt tonū. cōsiliū, pol:
lens cōsilio. Quę itē à fœm. cōposita, retrahūt accētū, añ:
ης pri. de penacuunt. robur, impotens, tibia, bñtibiatus. A noīb⁹ ta
cli. fœ. ις. men in ης primę inflex. fœm. in ις per δ uariata, in eadem
seruant accentū, in q̄ masculinū hēt. hic miles, hęc miles.
εα. Multa etiā à noībus in ης terminata in εα, añpenacuunt.
ας, υς, ους debilis, debilitas. In ας uero, & in υς, & in ους monosyllaba,
mono. ους & oīno in ους simplicia, circūflectuntur. oīs, mus, sus, q̄rc⁹.
simpli. bos. Talib⁹ etiā respondēt & piscis & pater & bacchus &
lūbus & superciliū. Excipiant pes, & dens. rursum q̄cunq̧
neut. monosyl. ignis, oē, stercus. Et quæcunq̧ in ων cōtra
ων cōtracta cta. Neptun⁹, Xenophō. Et oīno, q̄ ex synęresi. puer, flu:
xus,

εὐθείας πάντα. πάν. πλὴν τὸ ἀπὸ τοῦ πᾶς, πᾶν. Ετι τὰ εἰς ας θηλυκά, καὶ ὅλως τῷ δ κλινόμενα. τριάς, ἀρκάς. Ετι τὰ εἰς αις, καὶ αιξ μονοσύλλαβα ἀπαθῆ. δαίς, σταίς, αἴξ. Ετι τὰ εἰς ης τῷ καθαρῷ κλινόμενα ἐπίθετα. εὐγενής. Ετι τῶν εἰς ην, ὧν οὐκ ἔστι παρασχηματισμὸς οὐδετέρου, τὰ πολλὰ ἁπλᾶ ὄντα. αὐχήν, σωλήν. Ετι τὰ εἰς ηρ, ὡς ἁπλῶς εἰπεῖν. σωτήρ, πατήρ. μήτηρ γε μὴν καὶ θυγάτηρ παροξυτόνως. Ετι τὰ εἰς ιν δικατάληκτα ἁπλᾶ ὄντα. ῥίν. Ετι τὰ εἰς ις πατρωνυμικά. Πριαμίς. ἢ καὶ ἀπὸ τῶν εἰς ος τριτοκλίτων ὄντα. δμῶος, δμωίς. αἰχμάλωτος, αἰχμαλωτίς. λάλος, λαλίς. Ετι τὰ εἰς υς τριγενῆ, ἢ τῷ δ κλινόμενα, ἢ μακροκατάληκτα. ἡδύς, χλαμύς, πληθύς. τἆλλα δὲ παροξυτόνως. Ετι τὰ εἰς ων περιεκτικά, ἢ ὡς περιεκτικά. κοιτών, ἀπατεών. Ετι τὰ εἰς ω καὶ εἰς ως θηλυκά. λητώ, αἰδώς. Ετι τὰ εἰς ευς. ἀχιλλεύς, πηλεύς. Δωριεῖς μέντοι, καὶ ταῦτα παροξύνουσιν. Αχίλλευς, Πήλευς. Τὰ δὲ εἰς αρ σύνθετα παροξύνονται. ἑρμόπαρ. Ετι τὰ εἰς ας δισύλλαβα. Αἴας, Κάλχας, ἄτλας. Ετι τὰ εἰς ας οὐδέτερα. κρέας, κέρας. Ετι τὰ εἰς αξ, καὶ ὅλως τὰ εἰς ξ λήγοντα ἁπλᾶ ὑπὲρ μίαν συλλαβήν. ἅρπαξ, πέρδιξ. Ετι τὰ εἰς ην σύνθετα, ἢ ὧν οὐδετέρου παρασχηματισμὸς εἰς εν. ἐριαύχην, εὔρην, τέρην. Ετι τὰ εἰς ης ἀπὸ τῶν εἰς ος οὐδετέρων σύνθετα κύρια, καὶ εἰς ις προσηγορικά, καὶ κύρια ἁπλᾶ δισύλλαβα βραχυπαράληκτα. Δημοσθένης, ὄφις, Πάρις. Ετι τῶν εἰς ων ἀπαθῆ τὰ κύρια καὶ ἐπίθετα καὶ ἐθνικά. Θέων, εὐδαίμων, Τεύτων. Τὰ δὲ εἰς ις ὑπερδισύλλαβα τῷ δ κλινόμενα, ἢ τῷ τ, προπαροξύνεται. ἄδωνις, εὔπολις, εὔχαρις, ἔπηλυς. καὶ ὅλως τὰ ἐκ δισυλλάβων πεμπτοκλίτων βαρυτόνων σύνθετα ἀναβιβάζει τὸν τόνον. μῆτις, πολύμητις. Ετι τὰ ἐκ τῶν εἰς η θηλυκῶν συντιθέμενα ἀναβιβάζοντα τὸν τόνον, προπαροξύνεται. ἀλκή, ἄναλκις. κνήμη, εὔκνημις. Τά γε μὴν ἀπὸ τῶν εἰς ης πρωτοκλίτων θηλυκὰ εἰς ις τῷ δ κλινόμενα, ὅτε τῆς αὐτῆς φυλάσσει τὸν τόνον, ἐφ' ἧς τὸ ἀρσενικὸν ἔχει. στρατιώτης, στρατιῶτις. Ετι τὰ πολλὰ τῶν ἀπὸ τῶν εἰς ης, εἰς εια, προπαροξύνεται. ἀσθενής, ἀσθένεια. Τὰ δὲ εἰς ας καὶ εἰς υς, καὶ εἰς ους μονοσύλλαβα, καὶ ὅλως τὰ εἰς ους ἁπλᾶ, περισπᾶται. μῦς, σῦς, δρῦς, βοῦς. Τούτοις δ' ἠκολούθησε καὶ τὸ ἰχθῦς, καὶ ἀπφῦς, καὶ διονῦς, καὶ ὀσφῦς, καὶ ὀφρῦς. Ἐξαιρείσθω τὸ πούς καὶ ὀδούς. Ετι ὅσα τῶν οὐδετέρων μονοσύλλαβα. πῦρ, πᾶν, σκῶρ. Καὶ ὅσα εἰς ων συνῃρημένα. Ποσειδῶν, Ξενοφῶν. Καὶ ὅλως τὰ ἐκ συναιρέσεως. παῖς,

ῥοῦς,

Synæresis. xus,placeta. Oīs enim synæresis ex acuto & graui circunflexū facit. mercurius,rius. Simois, is. Xenophō,phon. lumen,mē. uoca,ca. caro,ro. uelut nōnulli & Podes esse putāt. Podeas enim podes facit. Ex quo & noim quintę cōtracti casus, circūflectunt oēs,si in contracto fuerit tonus. Latonæ,næ. perterq̄ ubi cōtractū alteri casui nō cōtracto

Regula. similis in uoce est. ut Latonā & nam. Oīs enim casus alteri cōsimilis casui, accentū eiusdē habet & tps. Igit & Sapphonē,& Sapphō acute,& in alijs cōsimiliter. Demosthenes aūt nō ex acuto,& graui. hmōi aūt & Panthus,& longęus. Verū de aureus,& ærcus, & talib⁹ cōsyderandū. Multiplex tñ & infinitus in multis nū accētus, & minime oīm exacte possibile est locos cōes de hoc accipere. qñdoquidē & dictionē uoce eandē diuersis tonis notare liceat, ad signi. differentiā. ut uita, arcus, malus, agricola, populū nutriens, à populo nutritus, rapina, harpago, nouēnis,

Genitiui loci. habitator. Gtūs aūt īcōtractus,& nō in oς dissyllabus, in eadē syllaba habet accentū, in qua & rectus, nisi lōga ulti

Regula. ma impediat. Longa eñ existēte in fine, nō potest āpenacui dictio. iustus nēpe iusti, ac sermo, mones,& bonus,

Gtūs in oς dissyl. boni. Excipiantur gtī hi, matris,& filiæ,& mulieris. Nam gtī in oς dissyllabi acuuntur. bouis, uetulæ. sed lapidis per synerēsin dicitur ex trisyllabo lapidis, & cordis & ueris similiter, ex cordis & ueris. Vnius aūt Ionicā habet inten-

Gtī in oς particip. sionē. In participijs tñ gtī in oς dissyll. grauantur. uadentis, stantis. Datiuus aūt generaliter, genitiui habet accen-

Datiui loci. tū,& tēpus. Aeneæ, Aeneæ. Trāsformatus uero, semper

Acusatiui. penacuitur. semestri, multistrepo, mulso. Cęterū actūs in eadē syll. habet accentū, in qua & gtūs, p̄ter accusatiuos quintę, quorū gtūs dissyllab⁹ in oς desinit. In his eñ necesse est genitiuos acui. Iouis, bouis. actōs aūt penacui. hūc bouem, Iouē. Excipiatur, filiām, quia cōtractū, & uirum

Accusa. in ν monosyll. similiter,& mulierē. Circūflectuntur aūt monosyllabi accusatiui in ν desinentes. clauē, leonem, murē, suem. Vo-

Vocatiui. catiu⁹ uero in eadē habet tonū, in qua & rectus. exceptis per quintā flexis in ης, cōpositis proprijs, grauib⁹, uel cir-

ης cumflexis ex synæresi, in his eñ retrahitur accentus. hic demosthenes,

ῥοῦς, φθοῦς. Πᾶσα γάρ τοι συναίρεσις ἐξ ὀξείας καὶ βαρείας περισπωμένην ποιεῖ. ἑρμέας, ἑρμῆς, σιμόεις, σιμοῦς. ξενοφόων, ξενοφῶν. φάος, φῶς. βόαξ, βῶξ. κρέας, κρῆς. οἷόν τινες καὶ τὸ ποδῆς εἶναι ἀξιοῦσι. Ποδέας γὰρ ποδῆς. Διὸ καὶ αἱ τῶν πεμπτοκλίτων συνῃρημέναι πτώσεις, περισπῶνται πᾶσαι. ἢν ἐπὶ τοῦ συνῃρημένου ὁ τόνος ᾖ. λητόος, λητοῦς. πλὴν ἔνθα τὸ συνῃρημένον ἑτέρᾳ πτώσει ἀσυναιρέτῳ ὁμοφωνεῖ. οἷον τὴν λητόα καὶ λητώ. Πᾶσα γὰρ πτῶσις ἑτέρᾳ ὁμοφωνήσασα πτώσει, καὶ τὸν τόνον αὐτῆς ἔχει, καὶ τὸν χρόνον. οὐκοῦν καὶ Σαπφόα καὶ Σαπφώ, ὀξιτόνως. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τὸ δὲ Δημοσθένης, οὐκ ἐξ ὀξείας καὶ βαρείας. τοιοῦτο δὲ καὶ τὸ Πάνθους, καὶ εὔγηρως. Περὶ δὲ τοῦ χρυσοῦς, καὶ χαλκοῦς καὶ τῶν τοιούτων, σκεπτέον. Πολυσχιδὴς γε μὴν καὶ ἀόριστος κατὰ πολλὰ τῆς εὐθείας ὁ τόνος. καὶ ἥκιστα πάντων δ' ἀκριβείας, οἷόν τε τόπους κοινοὺς περὶ τούτου λαβεῖν. ὁπότε δὴ καὶ τὸ τὴν φωνὴν ταὐτὸ διαφόρως τονίσαι ἐξῆν, πρὸς σημασίαν διάφορον. οἷον, βίος, βιός. πονηρός, πόνηρος. λαοτρόφος, λαότροφος. ἁρπαγή, ἁρπάγη. ἐνναετής, ἐνναέτης. Η δὲ Γενικὴ ἀπαθὴς οὖσα, καὶ μὴ εἰς ος δισύλλαβος, ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ εὐθεῖα, εἰ μὴ μακρὰ λήγουσα κωλύοι. Μακρᾶς γὰρ οὔσης ἐπὶ τέλους, οὐ δύναται προπαροξυνθῆναι λέξις. δίκαιος ἄρα δικαίου. λόγος δὲ λόγου. καὶ ἀγαθός, ἀγαθοῦ. Ἐξαιρείσθω τὸ μητέρος καὶ θυγατέρος, καὶ γυναικός. Αἵ γε μὴν εἰς ος δισύλλαβοι, ὀξύνονται. βοός, γραός. ἡ δὲ λᾶος, κατὰ συναίρεσιν ἐκ τρισυλλάβου τῆς λάαος. καὶ ἡ κῆρος, καὶ ἦρος ὁμοίως ἐκ τῆς κέαρος, καὶ ἔαρος. Τὸ δὲ μιᾶς, Ἰωνικὴν ἔχει τὴν τάσιν. Ἐπὶ μέν τοι τῶν μετοχῶν, καὶ αἱ εἰς ος δισύλλαβοι, βαρύνονται. βάντος, στάντος. Η δὲ Δοτικὴ καθόλου τὸν τῆς γενικῆς ἴσχει τόνον, καὶ χρόνον. αἰνείου, αἰνείᾳ. Μεταπεπλασμένη δέ, ἀεὶ προπαροξύνεται, διχόμηνι, πολυπάζαι, μελίκρατι. Η δὲ Αἰτιατικὴ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ γενική. πλὴν τῶν πεμπτοκλίτων, ὧν ἡ γενικὴ δισύλλαβος εἰς ος. Ἐπὶ τούτων γὰρ ἀνάγκη τὰς μὲν γενικὰς ὀξύνεσθαι. Διός, βοός. τὰς δὲ αἰτιατικὰς παροξύνεσθαι. τὸν βόα, τὸν Δία. Ἐξαιρείσθω τὸ θύγατρα. πεπονθὸς γάρ, καὶ τὸ ἄνδρα ὁμοίως, καὶ τὸ γυναῖκα. Καὶ περισπῶνται δὲ αἱ μονοσύλλαβοι αἰτιατικαὶ εἰς ν λήγουσαι. κλεῖν, λῖν, μῦν, σῦν. Η δὲ κλητικὴ, ἐπὶ τῆς αὐτῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ εὐθεῖα. πλὴν τῶν πεμπτοκλίτων εἰς ης συνθέτων κυρίων βαρυτόνων, ἢ καὶ περισπωμένων ἐκ συναιρέσεως. ἐπὶ τούτων γὰρ ἀναβιβάζεται ὁ τόνος. ὦ

per ꝰ declinata, in breuẽ finiũt. popul⁹ Athenis, ſcutella, uenatio, calcul⁹, crepida, tibicina, Priamis. Iã in σ deſinẽtia cũ ancipite, abiectiõe σ faciẽtia neutrũ, correptã hñt ancipitẽ. ſuauis, ue. magn⁹ gnũ. In υς etiã grauia ſiue uni⁹ gñis, ſiue triũ, in breuem deſinũt. uua, cubitus, nõ lachrymãs. Rurſus in υς monoſyl. & nõ, ſi acuta ſint, ꝓducũt ultimã. ut ſus, mus, quercus, ſupercilium. Oẽ etiã maſculinũ & fœ. per immutabilẽ deſinẽs, ꝓducit ultimã. ꝑter beatus & uxor. Itẽ deſinẽtia in ψ cũ ancipiti, ꝓducunt ultimã. uerũ cũ ο, ultimã corripiũt, ꝑter formata ab ὦπα, qđ ſignificat oculũ. ut cyclops. Excipiat aſtutus, & culex, & uirgultum. Gtũs autẽ par qdẽ ſyllabis nominatiuo, ultimam ꝓducit. Impar uero finalẽ corripit. Porrò dtũs pariſyllaborũ ſemper in longã deſinit, ſiue id per uocalẽ recti diphthõgo notatã. Aeneas, Aeneę. ſiue maiorẽ, ſermo, ſermoni. Impariſyllaborũ aũt, ſemper ultimã corripit, nã Theti, & cõſilio, ex cõtractione. Cęterũ actũs pariſyllaborũ idẽ tẽpore cũ recto eſt. Aeneas, Aenean. Impariſyllaborum uero cũ gtõ. Aiacis, Aiacẽ. Vnde ſanè & Atheniẽſes, cũ Peleωs, & Achilleωs producte ſcribũt, longũ ſumunt α accuſatiui noĩm in ευς, ut eiuſdẽ tẽporis cũ gtõ ſit. Atq uidi hunc Peleũ ꝑpè. Vocatiuus aũt oĩs æquale tpſ cũ proprio recto habet, uel etiã minus, maius nunq̃. Quaꝑpter & q̃ in immutabilẽ deſinũt, grauiſona, abijciendo genitiui ultimã, faciunt uocatiuũ, ut Neſtoris, ſtor. maris, mas. Machaonis, machaon. Pręter Apollo, Neptune. Rectus dualis & pluralis noĩm pariſyllaborũ quidẽ in longã deſinit. Rurſum genitiuus ultimã producit, dualiũ quidẽ per αι, uel οι diphthongũ, pluraliũ uero per ω. Cæterũ pluralis datiuus, pariſyllaborũ qdẽ ultimã producit per diphthongũ. Impariſyllaborũ uero ultimã corripit, atq̧ oĩno penultimã æqualẽ habet alijs obliquis. Interdũ tamen & maius habet tẽpus. ut in leonis, leonibus. & dicẽtes, dicẽtibus. Accuſatiu⁹ aũt pariſyllaborũ qdẽ ulti. ꝓducit ſemper. Impariſyllaborũ uero corripit. Quamobrẽ etiã dicit, qđ in αι qdẽ deſinẽtes recti plurales, intẽdũt α accuſatiuorũ, in ες uero corripiũt. porrò utũs ut ſe habeat, dictũ eſt.

[Margin notes: σ. — υς. — Regula generalis. — ψ — Gti quãtitas — Datiui. — Accuſatiui. — Vocatiui. — Dualium & plura. noĩm quantitas. Genitiuus. — Datiuus. — Accuſati.]

Item

δημοσθένης, ὦ δημόσθενες. ὁ ἡρακλῆς, ὦ ἡράκλεες, ἡράκλεις κατὰ συναίρεσιν. τοιοῦτο καὶ τὸ Σοφόκλεις, Περίκλεις. Καὶ τὰ εἰς ων δὲ σύνθετα, ἐὰν εἰς ον βραχὺ ἡ κλητική, ἀναβιβάζει τὸν τόνον. Αγάμεμνον, κακόδαιμον. Πλὴν τῶν ἀπὸ φρενῶν. καὶ γὰρ, ὦ δαΐφρον, καὶ περίφρον, παροξυτόνως. Εξαιρείσθω τὸ Λακεδαῖμον, καὶ τὸ παλαῖμον, προπερισπώμενα. Ετι τὰ εἰς ηρ, ὧν ἡ κλητικὴ εἰς ερ, ἀναβιβάζει. θύγατερ, εἴνατερ, δήμητερ, ἄνερ, σῶτερ. Εξαιρείσθω καὶ τὸ δέσποτα. μητίετα, ἀκάκητα, εὐρύοπα. Η δὲ εὐθεῖα τῶν δυϊκῶν, ἐπὶ τῆς αὐτῆς συλλαβῆς τῇ εὐθείᾳ τῶν ἑνικῶν ἔχει τὸν τόνον. Αἴας, Αἴαντε. Πέρσης, Πέρσα. ἵππος, ἵππω. Η δὲ γενικὴ ἐπὶ τῶν πεμπτοκλίτων μόνων τῇ γενικῇ τῶν πληθυντικῶν ἕπεται. Αἰάντοιν, Αἰάντων. Πλὴν τοῦ χεροῖν, παιδοῖν, μηκέοιν. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων, τῇ ἰδίᾳ εὐθείᾳ ὁμοτονεῖ. Αἰνεία, Αἰνείαιν. τιμά, τιμαῖν. λόγω, λόγοιν. Μενέλεω, Μενέλεων. Η δὲ κλητικὴ τῇ εὐθείᾳ ὁμοίως. Η δὲ εὐθεῖα τῶν πληθυντικῶν ὁμοτόνως ἔχει τῇ εὐθείᾳ τῶν ἑνικῶν. λίθος, λίθοι. χρυσός, χρυσοί. Πλὴν τῶν εὐθυλεκτουμένων θηλυκῶν παρεσχηματισμένων ἀρσενικοῖς. Ταῦτα γὰρ τῷ ἀρσενικῷ ὁμοτονεῖ. λίθινος, λίθιναι. ὅθεν δὴ καὶ ἡμέρα μὲν, ἥμεραι δὲ προπαροξυτόνως. Ακολουθεῖ γὰρ ἀεὶ τὰ θηλυκὰ τοῖς ἀρσενικοῖς. ὡς εἴρηται. Η δὲ γενικὴ τῶν μὲν πρωτοκλίτων καὶ δευτεροκλίτων περισπᾶται. ὀρέσται, ὀρεστῶν. τιμαί, τιμῶν. Πλὴν τῆς ἀφύων, καὶ ἐπὶ τῶν πρωτοκλίτων, χρήστων, χλούνων, ἐτησίων. Τὰ γεμὴν παρεσχηματισμένα ἀρσενικοῖς τῶν δευτεροκλίτων ὁμοτονεῖ κἀνταῦθα τῷ ἀρσενικῷ. ῥόδιος, ῥόδιαι, ῥοδίων. Πλὴν τῆς ταχειῶν καὶ ὅλως τῶν ἀπὸ τῶν εἰς υς ἀρσενικῶν παρασχηματισμένων. οὐ μὴν ἀλλὰ καὶ μέλαιναι, μελαινῶν, οὐ μελαίνων. καὶ ὅλως τὰ ἀπ᾽ ἀρσενικῶν πεμπτοκλίτων. Καὶ ἡ τῶν πεμπτοκλίτων δὲ δισυλλάβως εὐθυλεκτουμένων περισπᾶται. μῆνες, μηνῶν. πλὴν τῶν δέκα ἐκείνων. πάντων, τρώων, δμώων, παίδων, φώτων, θώων. λάων, κράτων, δάδων, φώδων. Υπὲρ δύο δὲ συλλαβὰς ὄντα παροξύνεται. Αἴαντες, Αἰάντων. τὸ δὲ λέξεων, καὶ τὰ ὅμοια Αττικῶς. Η δὲ τῶν τριτοκλίτων, καὶ τεταρτοκλίτων, ὁμοτονεῖ τῇ τῶν ἑνικῶν γενικῇ, καὶ περισπᾶται δὲ ἐπὶ τῆς ληγούσης ἔχουσα τὸν τόνον. Καθόλου γὰρ πᾶσα γενικὴ μακροκατάληκτος, ἐπὶ τῆς μακρᾶς ἔχουσα τὸν τόνον, περισπᾶται. ἡ γεμὴν τῶν Αττικῶν. λεώ, καὶ νεώ, ὀξύνεται. Τὸ γὰρ πτωτικὸν τελικὸν ω, περισπᾶσθαι οὐκ ἐθέλει. Τὸ δὲ Ποσειδῶ, καὶ ἱδρῶ, καὶ κυκεῶ, περισπᾶται, ὡς ἐξ ἀποκοπῆς ὄντα.

Dtii plura. locus. Porrò dtũs, singulariũ dtõ cõsonat, excepto, oĩbus. In quibus aũt α abũdat in penul. in eadẽ est tonus. matribus, filiabus. De una declinatiõe in aliã trãsformati datiui, añpenacuũtur. ouibus, astris, intestinis. Cæterũ accusatiuo in eadẽ syllaba est tonus, in qua & recto, præterq̃ ubi longa ultima uetat. Tũc em̃ in sequẽte est tonus. hi iusti, hos iustos. Et uocatiuus recto est similis.
Asti plur. locus.
Vti locus.

VSVS TEMPORVM IN VNOQVOQVE CASVVM.

De temporibus syllabæ nõis. Sylla. nominatiui quantitas. ας. Masc. α

SVmere autẽ oportet & finalia, & ultima tempora similiter in unoquoq;, & casuũ, & declinationũ. In nominatiuo qdẽ sic. Masculina in ας grauisona producuntur. Aiax, Aenas. pter magnus & lapis. Oĩne fœ. in α desinẽs, acutũ qdẽ, intẽdit α. imprecatio, gaudiũ. Añpenacutũ, uel penãflexũ, corripit. cõcordia, musa. Sin mascu. hẽt, cũ fine gtĩ masculini eiusdẽ est tẽporis. diuinus, ni, na. suauis, uis, uis. Prẹter diua. Sed si ab in ειω uerbis fit, in longã desinit. legatũ ago, legatio. Quẹcũq; uero purũ hñtia α, per αι penultimãt diphthõgũ, dissyllaba qdẽ, breui finiũt ultima. ut maia. Polysyllaba uero in longã definũt. ut luna. Definẽtia aũt in ρα, siqdẽ una uocali penul. in longã desinũt. pera. si uero diphthõgo, in breuẽ terminãtur. parca. præter phædra, lacerta, aura. In δα uero & in θα, ult. hñt lõgam. leda, capella. Reliqua aũt oĩa ulti. hñt breuẽ. Porrò

ος. in ος masculina & fœm. atq; in ον neut, coĩa quidẽ, breuẽ
ον. hñt ulti, Attica uero longã hñt. Itẽ in μα desin. neutra incõ
μα. tracta, breui finiũt, & oĩno q̃ ultimã hñt ancipitẽ, corripi-
ας Neut. unt eandẽ ancipitẽ. In ας etiã neut. in breuẽ desinunt. Itẽ in ας acuta, ult. corripiunt. arcas, assuetus. præter lorũ, sta-
ξ. tua, & q̃ à tẽperando fiũt. Quæ uero in ξ masculina sunt, pducũt ultimã. thorax. Prẹter accipiter, cõturnix, unguis. fœm. ultimã breuiãt. sulcus, fons. Cõmunius aũt in ξ plusquãsyllabica, ancipitẽ añ ξ hñtia, masculina qdem longã eandẽ hñt. ut thorax, phœnix, præco, æqueuus. Fœmin. uero breuem. sulcus, calix, currus, perdix. Monosyllaba
ις. autẽ semper corripiuntur. phryx. Cæterũ in ις siue masculina, siue fœm. ultimã corripiũt. Hanc dictionẽ auis pducũt Attici, & ocreatus, & similia cõposita. Acuta itẽ fœm.

per

Ἡ δὲ δοτικὴ, τῶν ἑνικῶν δοτικῇ ὁμοτονεῖ. πλὴν τῆς πᾶσιν. Ἐφ' ὧν δὲ τὸ α πλεονάζει, ἐπὶ τῆς παραληγούσης ὁ τόνος. μητράσι. θυγατράσιν. Αἱ δὲ μεταπεπλασμέναι τῶν δοτικῶν προπαροξύνεται. πρόβασιν, ἄστρασιν, ἔγκασιν. Τῇ δὲ αἰτιατικῇ ἐπὶ τῆς αὐτῆς ὁ τόνος, ἐφ' ἧς καὶ τῇ εὐθείᾳ. πλὴν ἔνθα μακρὰ λήγουσα κωλύει. ἐνταῦθα γὰρ ἐπὶ τῆς ἑπομένης ὁ τόνος. οἱ δίκαιοι, τοὺς δικαίους. Καὶ ἡ κλητικὴ, τῇ εὐθείᾳ ὁμοίως.

ΧΡΗΣΙΣ χρόνων ἐφ' ἑκάστης τῶν πτώσεων.

Δηλτέον δὲ καὶ τοὺς τελικούς τε, καὶ κλητικοὺς τῶν χρόνων ὁμοίως ἐφ' ἑκάστης τῶν πτώσεών τε καὶ κλίσεων. ἐφ' εὐθείας μὲν οὖν ὧδε. Τὰ εἰς ας ἀρσενικὰ βαρύτονα, ἐκτείνεται. Αἴας, Αἰνείας. πλὴν τοῦ μέγας, καὶ λάας. Τῶν θηλυκῶν εἰς α λῆγον, ὀξυνόμενον μὲν ἐκτείνει τὸ α. ἀρά, χαρά. παροξυνόμενον δὲ ἢ προπερισπώμενον, συστέλλει, ὁμόνοια, μοῦσα. εἰ δὲ ἀρσενικὸν ἔχει, τῷ τέλει τῆς γενικῆς τοῦ ἀρσενικοῦ ὁμοχρονεῖ. θεῖος, θείου, θεία. ἡδύς, ἡδέος, ἡδεῖα. Πλὴν τοῦ Δῖα. Εἰ δὲ ἀπὸ τῶν εἰς ευω ῥημάτων γίνεται, μακροκαταληκτεῖ. πρεσβεύω, πρεσβεία. ὅσα δὲ καθαρὸν ἔχοντα τὸ α, τῇ αι παραλήγει διφθόγγῳ, δισύλλαβα μὲν ὄντα, βραχυκαταληκτεῖ. μαῖα. Ὑπερδισύλλαβα δὲ μακροκαταληκτεῖ. σεληναία. Λήγοντα δὲ εἰς ρα, εἰ μὲν μονοφθόγγῳ παραλήγει, μακροκαταληκτεῖ. πήρα. εἰ δὲ διφθόγγῳ βραχυκαταληκτεῖ. μοῖρα. πλὴν τοῦ φαῖδρα, σαύρα, αὔρα. Τὰ εἰς δα, καὶ εἰς θα, μακροκαταληκτεῖ. λῆδα, κισσαίθα. Τὰ δ' ἄλλα πάντα βραχυκαταληκτεῖ. Τὰ δὲ εἰς ος ἀρσενικὰ καὶ θηλυκά, καὶ τὰ εἰς ον οὐδέτερα, κοινὰ μὲν ὄντα, βραχυκαταληκτεῖ, Ἀττικὰ δὲ μακροκαταληκτεῖ. Ἔτι τὰ εἰς μα λήγοντα, οὐδέτερα ἀπαθῆ, βραχυκαταληκτεῖ, καὶ ὅλως τὰ διχρονοκατάληκτα οὐδέτερα, συστελλόμενον ἔχει τὸ δίχρονον. Ἔτι τὰ εἰς ας οὐδέτερα βραχυκαταληκτεῖ. Ἔτι τὰ εἰς ας ὀξύτονα βραχυκαταληκτεῖ. ἀρκάς, ἐθάς, πλὴν τοῦ ἱμάς, ἀνδριάς, καὶ ὅσα ἀπὸ τοῦ κεκρᾶσθαι. Τὰ δὲ εἰς ξ ἀρσενικὰ μὲν ὄντα, μακροκαταληκτεῖ. θώραξ. Πλὴν τοῦ ἵραξ, ὄρτυξ, ὄνυξ. Θηλυκὰ δὲ ὄντα βραχυκαταληκτεῖ. αὖλαξ, πίδαξ. Κοινότερον δὲ τὰ εἰς ξ ὑπὲρ μίαν συλλαβήν, δίχρονον πρὸ τοῦ ξ ἔχοντα, ἀρσενικὰ μὲν ὄντα μακρὸν αὐτὸ ἔχει. θώραξ, φοίνιξ, κήρυξ, ἧλιξ. Θηλυκὰ δὲ, βραχύ. αὖλαξ, κύλιξ, ἄντυξ, πέρδιξ. Τὰ δὲ μονοσύλλαβα, ἀεὶ συστέλλεται. φρύξ. Τὰ δὲ εἰς ις βαρύτονα εἴτε ἀρσενικά, εἴτε θηλυκά, βραχυκαταληκτεῖ. Τὸ ὄρνις ἐκτείνουσιν οἱ Ἀττικοί, καὶ τὸ εὐκνήμις, καὶ τὰ ὅμοια σύνθετα. καὶ ὀξύτονα δὲ θηλυκὰ

demosthenes,o sthenes. hic Hercules,o Hercules per sy= ωυ cōposi. nęresin.Identidē & Sophocles,& Pericles. Cæterū in ωυ cōposita,si in ου breue uсtūs fiat,retrahūt accentū. Aga= mēnon,cacodæmō.Præter ea q̄ sunt à mēs cōposita. Et= eñ o bellicose,& prudēs,penacute.Excipiant,o Lacedæ mō,& palæmon,penāflexa.Prgterea noïa in ηρ,quorum ηρ quorum utūs ερ. utūs in ερ,retrahūt.o filia,glos,Ceres,uir,seruator. Exci= piant o dñe,cōsiliarie,simplex,late uidēs.Rectus aūt dua Dualium toni. liū in eadē sylla.in qua rectus singulariū, habet accentū. Aiax,Aiaces.Perses,Persæ.equus,equi. Cæterū gtūs in nominibus per quintā inflexis solis, gtm̄ pluraliū seqtur. Aiacum,Aiacū.Prgter manuū,puerorū,ꝓlixorū.In alijs uero oïb⁹ ꝓprio recto ĩ tono est similis,Aeneæ. Aenearū. honores,rum.sermones,nū.Menelai, orū.Vocatiu⁹ aūt Pluralium toni. ntō similis. Rectus uero pluralis similē tonū hēt cū recto singulariū.lapis,lapides. aurū,aura.prgter enūciata in re cto fœminina,afformata masculinis.Siquidē hęc cū ma= sculino in tono cōueniūt. lapideus,deæ. Vñ sane & dies, dies uero antepenacute.Respōdent eñ semper fœm.ma Gtūs pri.& 2. & decli. sculinis,ut dictū est.Genitiuus aūt noïm primæ & secūdę decli. anflectif.Orestes,Orestū.honores,rū.Præter apya rū,& in nominib⁹ primæ.fœneratorū,aprorū,etesiarum. Quin etiā afformata masculinis secūdę declin.in tono cō ueniūt & hic masculino.ut rhodius,rhodiarū.Prgter uelo cium & oïno q̄ ab in ος masculinis trāsformanf. Sed & ni grę,nigrarū,nō nigrarū.atq; in totū, q̄ à masculinis fiunt Genitiui plura. loci. quintæ. Itē gtūs quintæ dissyllabice in recto enunciatorū circūflectif.menses,mensiū. pter decē illos,omniū, torū, famulorū,puerorū,uirorū, thoum, lapidū, capitum,tæ= darū,pustularū.Genitiui aūt plusq̄ dissyllabi, penacuūf. Genitiui polysylla. Aiaces,Aiacū.dictionū itē, & similia Attice. Gtūs autē Gtūs 3. et 4. Regula. tertiæ & quartę infle.accentu cōuenit cum singulari gtō, atq; inflectitur,in ultima hñs tonum. Vniuersaliter enim oïs gtūs in longā desinens,atq; in eadē habēs tonū,circū flectitur. Genitiuus tñ Atticorū,ut populi,& tēpli, acuif. Casus enim finalis in ω,circūflecti nō uult. Nā Neptunū & sudorē & potionem,inflectuntur, utpote ex apocope.

Porrò

ὄντα τῷ θ κλινόμενα, βραχυκαταληκτεῖ. κεραμίς, πινακίς, θηρίς, ψηφίς, κρητίς, αὐλητρίς, Πριαμίς. Ἔτι τὰ εἰς σ λήγοντα μετὰ διχρόνου, καὶ ἀποβολῇ τοῦ σ ποιοῦντα οὐδέτερον, συνεσταλμένον ἔχει τὸ δίχρονον. ἡδύς, ἡδύ. μέγας, μέγα. Ἔτι τὰ εἰς υς βαρύτονα, εἴτε μονογενῆ, εἴτε τριγενῆ βραχυκαταληκτεῖ. βότρυς, πῆχυς, ἄδακρυς. Τὰ δὲ εἰς υς μονοσύλλαβα, καὶ μή, ἐὰν ὀξύτονα ᾖ, μακροκαταληκτεῖ. σῦς, μῦς, δρῦς, ὀφρῦς. Ἔτι πᾶν ἀρσενικὸν καὶ θηλυκὸν εἰς ἀμετάβολον λῆγον, μακροκαταληκτεῖ, πλὴν τοῦ μάκαρ, καὶ δάμαρ. ἔτι τὰ εἰς ψ λήγοντα μετὰ διχρόνου, μακροκαταληκτεῖ. μετά γε μὴν τοῦ ο βραχυκαταληκτεῖ. πλὴν τῶν ἀπὸ τοῦ ὦπα τοῦ σημαίνοντος τὸν ὀφθαλμόν. οἷον κύκλωψ. ἐξαιρείσθω τὸ κέρκωψ, καὶ κώνωψ, καὶ ῥώψ. Ἡ δὲ γενικὴ ἰσοσυλλαβοῦσα μὲν τῇ εὐθείᾳ, μακροκαταληκτεῖ. περιττοσυλλαβοῦσα δέ, βραχυκαταληκτεῖ. Ἡ δὲ δοτικὴ τῶν μὲν ἰσοσυλλάβων ἀεὶ μακροκαταληκτεῖ. ἤτοι γὰρ τῷ τῆς εὐθείας φωνήεντι διφθογγουμένῳ. Αἰνείας, Αἰνείᾳ. ἢ καὶ μείζονι. λόγος, λόγῳ. Τῶν δὲ περιττοσυλλάβων, ἀεὶ βραχυκαταληκτεῖ. τὸ δὲ θέτι καὶ μήτι, ἐκ συναιρέσεως. Ἡ δὲ αἰτιατικὴ τῶν μὲν ἰσοσυλλάβων, ὁμόχρονος τῇ εὐθείᾳ. Αἰνείας, Αἰνείαν. Τῶν δὲ περιττοσυλλάβων ὁμόχρονος τῇ γενικῇ. Αἴαντος, Αἴαντα. ὅθεν δὴ καὶ Ἀθηναῖοι, ὅτι Πηλέως καὶ Ἀχιλλέως μακρογραφοῦσι, μακρὸν λαμβάνουσι τὸ α τῆς αἰτιατικῆς τῶν εἰς ευς, ἵνα ἰσόχρονος τῇ γενικῇ ᾖ. καὶ μὴν δέδορκα τὸν δὲ Πηλέα πέλας. Κλητικὴ δὲ πᾶσα τὸν ἴσον χρόνον τῇ ἰδίᾳ εὐθείᾳ ἔχει, ἢ καὶ ἐλάττω, μείζω δὲ οὐδέποτε. Διὸ καὶ τὰ εἰς ἀμετάβολον λήγοντα βαρύτονα, ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην, ποιεῖ τὴν κλητικήν. Νέστορος, νέστορ. ἄρσενος, ἄρσεν, μαχάονος, μαχάον. Πλὴν τοῦ Ἄπολλον. Πόσειδον.

Ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν καὶ πληθυντικῶν, τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ. Ἡ γενικὴ δὲ μακροκαταληκτεῖ, τῶν μὲν δυϊκῶν, τῇ αι, ἢ τῇ οι διφθόγγῳ. τῶν δὲ πληθυντικῶν, τῷ ω. Ἡ δὲ πληθυντικὴ δοτική, τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ τῇ διφθόγγῳ. τῶν δὲ περιττοσυλλάβων, βραχυκαταληκτεῖ τῷ ι. ὅλως δὲ τὴν παραλήγουσαν ἰσοχρονεῖ ταῖς ἄλλαις πλαγίαις. ἐνίοτε δὲ καὶ μείζω ἔχει τὸν χρόνον. ὡς ἐπὶ τοῦ λέοντος, λέουσι. καὶ λέγοντος, λέγουσι. Ἡ δὲ αἰτιατικὴ τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ ἀεί. τῶν δὲ περιττοσυλλάβων βραχυκαταληκτεῖ. διὸ καὶ λέγεται, ὅτι αἱ μὲν εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ἐκτείνουσι τὸ α τῶν αἰτιατικῶν. αἱ δὲ εἰς ες, συστέλλουσιν. Ἡ δὲ κλητική, ὡς εἴρηται.

Ἔτι

De syllaba quantitate in cõmune. Item initialia tempora,& penultimãtia,& prſus inter=media cõſyderantes,ſimiliter dicimus,qđ priuatiuũ α eſt breue,niſi cauſa metri producatur.ut immortalis.Itemq́ʒ α ante β uel μ corripitur.Abydus,pugna.p̃ter meſſis.

Regula. Generaliter aũt omnis anceps cõtracta intenditur.conſilio, ſacerdos,accipiter,glorioſum.Infamẽ aũt & ſęuũ nõ per craſin fiũt,ſed ablatiõe ι.

ος. Nomina itẽ in ος purũ acuta per α penul.facientia,hancp̄ducũt,atqʒ oĩno,q̄ per ancipitẽ. ſic templũ,aries,rubigo.præter uita.

μα. Porro in μα purum neutra,natura longa maxime hñt penultimã.quinetiã q̄ eiuſdẽ ſunt ordinis,cũ à p̃teritis perfectis ſint in μος maſc. uictima,purgatio,ſordes,fuſio. Excipiantur q̄ à uerbis in μι deriuãtur.poſitio,donũ.& cum his,os.Cõtra aũt in μα non purũ,natura quidẽ breui.multa,decretum, ſinciput.

ον cõpara. Cęterũ in ον cõparatiua,nunq̃ per longã penultimãt an=cipitẽ.p̃ter minus.

ων purũ. Verum in ων purũ cõparatiua,longã habent penult. melior.

ος diſſyll. Porrò in ος diſſyllaba neutra,per α penultimantia,eandẽ corripiũt.chaos,lumẽ.Pręter ue=ſtis.

αριον. Ad hęc in αριον formata diminutiua, correptũ habẽt α.equulus,foliolũ,corticulus.

ρος. Nomina in ρος purũ diſſyl=laba maſculina per α hñtia penult.eãdẽ corripiũt. crates, dulcis.

ι ante τ. Itẽ ante τ iota breuis eſt,ſi initialis. ut umbo, ſalix, bellariũ.

ιτης. In ιτης tñ formata, atqʒ in media ſyllaba ι hñtia penult.facientẽ,longa penult. Præterea à nominib⁹ acu=tis cõpoſita.ſiquidẽ iuſtus iudex,breui,qđ à iudex. Noĩa uero à uerbis diphthõgũ in penul.hñtib⁹,facta per ι, bre=uem idẽ ι hñt.Qđ ſi frumentũ à cibare eſt,neqʒ hoc gñã=le.Sunt tñ ut in plurimũ noĩa ipſa breuiora uerbis,à q̧bus deducunt.ſuadeo,ſuaſilis,lãbo,digitus medi⁹. Præterea

ιος. in ιος ſiue penacuta,ſiue añpenacuta,breuẽ penul.habẽt. p̃ter diuus,Cius,Chius,Tius,q̄ cõtracta ſunt.

ιον. Rurſum nomina deſinentia in ιον neutrã diminutiua,ſiue acuta,ſiue añpenacuta breui penul.parua fera,literula.

ας maſc. grauia. In ας quoqʒ maſc.grauia per ι penultimãtia,eandẽ corripiũt.limaca.

μος. polyſylla. Itẽ in μος deriuatiua plusq̃ diſſyl.ſimplicia,corripiũt ι. an=thimos,fortis,glorioſus,præcox. Verum inhonoratus,fa=melicus,potẽs,cõpoſita.

ινος. Præterea in ινος polyſyll.acuta,

tempo=

Ἔτι τοὺς ἀρκτικούς τε τῶν χρόνων καὶ παραλήγοντας, καὶ ὅλως μεταξὺ ὄντας θεωροῦντες ὁμοίως λέγομεν, ὅτι τὸ στερκτικὸν α βραχύ. εἰ μὴ διὰ μέτρον μηκύνοιτο, οἷον καὶ τὸ ἀθάνατος. Ἔτι τὸ α πρὸ τοῦ β, ἢ μ, συστέλλεται. ἄβυδος, ἅμιλλα. Πλὴν τοῦ ἀμήτος. Καθόλου δὲ πᾶν δίχρονον ἐκ κράσεως ἂν ἐκτείνεται. μήτι, ἱρεύς, ἵρηξ, εὐκλεᾶ. Τὸ δὲ δυσκλέα καὶ νηλέα οὐ κατὰ κρᾶσιν. ἀλλ' ἐξαιρέσει τοῦ ε. Ἔτι τὰ εἰς ος καθαρὸν ὀξύτονα, τῷ α παραλήγοντα, μακροπαραληκτεῖ. καὶ ὅλως τὰ διχρόνῳ παραλήγοντα. οὕτως. ναός, κριός, ἰός. πλὴν τοῦ βίος. Ἔτι τὰ εἰς μα καθαρὸν οὐδέτερα φύσει μακρῷ μάλιστα παραλήγει, ἄλλως τε καὶ σύστοιχα ὄντα τῶν ἀπὸ τοῦ παρακειμένου εἰς μος ἀρσενικῶν. οἷον θῦμα, ῥῦμα, λῦμα, χῦμα. ἐξαιρείσθω τὰ ἀπὸ τῶν εἰς μι. θέμα, δόμα. καὶ πρὸς τούτοις τὸ στόμα. ἀνάπαλιν δὲ τὰ εἰς μὴ καθαρόν, φύσει γὰρ βραχεῖα τὰ πολλά. δόγμα, βρέγμα. Τά γε μὴν εἰς ον συγκριτικά, οὐδέποτε φύσει μακρῷ παραλήγει διχρόνῳ. πλὴν τοῦ θᾶττον. Τὰ μέντοι εἰς ων καθαρὸν συγκριτικὰ μακρὰν ἔχει τὴν παραλήγουσαν. βέλτιων. Ἔτι τὰ εἰς ος δισύλλαβα οὐδέτερα τῷ α παραλήγοντα, βραχυπαραληκτεῖ. χάος, φάος. πλὴν τοῦ φᾶρος. Ἔτι τὰ εἰς αριον ἐσχηματισμένα ὑποκοριστικὰ συνεσταλμένον ἔχει τὸ α. ἱππάριον, φυλλάριον, πλοιάριον. Ἔτι τὰ εἰς ρος καθαρὸν δισύλλαβα ἀρσενικὰ τῷ α παραλήγοντα, βραχυπαραληκτεῖ. ταρός, λαρός. Ἔτι τὸ πρὸ τοῦ τ ἰῶτα βραχὺ ἀρκτικὸν ὄν. ἴτυς, ἰτέα, ἴτριον. Τά γε μὴν εἰς ιτης σχηματιζόμενα μεσοσυλλαβοῦντος τοῦ ι καὶ παραλήγοντος μακροπαραληκτεῖ. Πλὴν τῶν ἀπὸ ὀξυτόνων συνθέτων. δικαιοκρίτης γὰρ τῷ βραχεῖ, ὅτι ἀπὸ τοῦ κριτής. Τὰ δὲ ἀπὸ ῥημάτων διφθογγογράφων γινόμενα, διὰ τοῦ ι, βραχὺ τὸ ι ἔχει. εἰ δὲ σῖτος ἀπὸ τοῦ σείειν, οὐ δὲ τοῦτο καθόλου. ἔστι γε μὴν ὡς ἐπὶ τὸ πλεῖστον τὰ ὀνόματα βραχύτερα τῶν ῥημάτων ἀφ' ὧν παράγονται. πείθω, πιθανός, λείχω, λιχάνος. Ἔτι τὰ εἰς ιος, εἴτε παροξύτονα, εἴτε προπαροξύτονα, βραχεῖα παραλήγει. πλὴν τοῦ Δῖος, Κῖος, Χῖος, Τῖος, ἐκ συναιρέσεων ὄντων. Ἔτι τὰ εἰς ιον οὐδέτερα ὑποκοριστικά, εἴτε παροξύτονα, εἴτε προπαροξύτονα, βραχεῖα παραλήγει. θηρίον, γραμμάτιον. Ἔτι εἰς ος ἀρσενικὰ βαρύτονα τῷ ι παραλήγοντα βραχυπαραληκτεῖ. κοχλίας. Ἔτι τὰ εἰς ιμος παράγωγα, ὑπερδισύλλαβα ἁπλᾶ, συστέλλει τὸ ι. ἄνθιμος, ἄλκιμος, κύδιμος, πρώϊμος. τὸ δὲ ἄτιμος, βούλιμος, ἴφθιμος, σύνθετα. Ἔτι τὰ εἰς ινος ὑπερδισύλλαβα ὀξύτονα

tēporisq́,& horæ nominatiua, penult. habent breuē. uernus, æstiuus, nocturn⁹. Reperiūtur tñ & ꝓducta apud poētas hęc. Grauisona aūt siue dissyllaba, siue nō, longā penul. habēt. ꝑter cancer & sordes. Item in ινη plusq̃trisyl!a. longa penultimant. herois, plumbea. præter cōuiuiū, & quæ sunt urbium. Rursum in λος siue per ι, siue per υ, breuē penul. habēt. Verū in υλον neut. longā habent penult. spoliū, gens. præter lignū. In της etiā siue per ι, siue per υ, producunt penult. ciuis, senex. præter iudex, & q̃ ab hoc deducūtur. Præterea in μος purū dissyll. per υ penul. eandem hñt longā. humor, furor. Omnino etiā (quę à prima fiūt persona passiui ꝑteriti perfec.) masculina in ος, longā uolunt habere penul. aut natura, aut positione. Quapropter est qñ assumentia σ ꝓducuntur. uīctus sum, uinculū. Est & qñ eandē intendunt penult. in natura longā. insāniui, furor. solutus sum, solutio. protectus sum, temo. fusus sum, humor. Ad hæc in υνος dissyll. longa penultimā. rana, cursus. pręter balneū. Et q̃ pluriū sunt syllabarū, lōga penultimāt. periculū, nō obnoxius, crassus. Quāobrē fouea analogice intendūt Attici. Cæterū semiuir, mollis, & similia, huius dictiōis fœmina hñt tēpus. Itē in υνη dissylla. intēdūt penul. ꝑtext⁹, Phryne. præter fœmina. Quæ uero superant dissyll. corripiunt. iustitia, grauitas, claua. In gtō aūt atq; alijs obliq̃s non semper ancipites, q̃les in recto, sed nōnullæ q̃dē lōgæ corripiunt, nōnullæ uero cōtra. ut noïa in ιξ, q̃ oïa longā hñt penul. Tametsi differētia in recto sint, ut dictū est. phœnicis, pręconis. Pręterea in ις acuta fœ. dissyll. per δ declinata, natura lōga penultimātia, & neq; diminutiua, neq; ꝓpria, in recto quidē breue hñt ι, in gtō aūt natura lōgū. ocreæ, transtri, repaguli, nēpe à solido. Contra uero in ιξ, siquidē breuia. uermis, uulturis. Quēadmodū & monosyll. muris, querc⁹. Præter ea q̃ geminā hñt terminationē. Phorcyn aūt & Polt yn in obliquis declinata intēdunt. Præterea noïa adiectiua trisyllaba oïa, breue ι seruant, siue in longā, siue breuē desinat nominatiu⁹. huius tibicinæ, huius īperatoris. Penultmantia tamē, atq; una antepenultimātia breui, ꝓducuntur in gtō. ut

Marginalia: ινη. / λος. / υλον. / της. / μος purū dissyllaba. / υνος. / υνη. dissylla. / ιξ. / ις acuta dissylla. / Adiectiua trisylla.

καιροῦ τι, καὶ ὥρας ὀνομαστικά, βραχυπαράληκτα. ἐαρινός, θερινός νυκτερινός, εὕρηται. μέντοι καὶ ἐκτεινόμενα παρὰ ποιηταῖς ταῦτα. Βαρύτονα δ' ὄντα εἴτε δισύλλαβα, εἴτε μή, μακρᾷ παραλήγει. πλὴν τοῦ καρκίνος, καὶ πίνος. Ἔτι τὰ εἰς ινη, ὑπερτρισύλλαβα μακρᾷ παραλήγει. ἡρωΐνη, μολυβδίνη. Πλὴν τοῦ ἐλαπίνη. καὶ τῶν ἀπὸ πόλεων. Ἔτι τὰ εἰς λος, εἴτε τῷ ι εἴτε τῷ υ, βραχεῖα παραλήγει. Τά γε μὴν εἰς υλον οὐδέτερα μακροπαράληκτα. σκῦλον, φῦλον. πλὴν τοῦ ξύλον. Ἔτι τὰ εἰς της εἴτε τῷ ι, εἴτε τῷ υ, μακροπαράληκτα. πολίτης, πρεσβύτης. Πλὴν τοῦ κριτής. καὶ τῶν ἀπὸ τούτου. Ἔτι τὰ εἰς μος καθαρὸν δισύλλαβα τῷ υ παραλήγοντα, μακροπαράληκτα. χυμός, θυμός. ὅλως τε τὰ ἀπὸ τοῦ πρώτου προσώπου τοῦ παθητικοῦ παρακειμένου ἀρσενικά, εἰς μος μακρὰν βούλεται ἔχειν τὴν παραλήγουσαν, ἤτοι φύσει, ἢ θέσει. Διὸ καὶ ἔστι μὲν οὐ προσλαμβάνοντα τὸ σ, μηκύνεται. δέδυμαι, δυσμός. Ἔστι δ' οὗ αὐτὴν ἐκτείνει τὴν παραλήγουσαν ἀπὸ τὸ φύσει μακρόν. τέθυμαι, θυμός. λέλυμαι, λυμός. ἔρρυμαι, ῥυμός. κέχυμαι, χυμός. Ἔτι τὰ εἰς υνος δισύλλαβα μακροπαράληκτα. φρῦνος, θῦνος. Πλὴν τοῦ πλυνός. καὶ ὑπερδισύλλαβα δ' ὄντα μακρᾷ παραλήγει. κίνδυνος, ἀνεύθυνος, πάχυνος. διὸ καὶ τὸ βόθυνος ἀναλόγως ἐκτείνουσιν οἱ Ἀττικοί, τὸ δὲ ἀνδρόγυνος, λάγυνος, καὶ τὰ ὅμοια, τὸν τοῦ γυνὴ ἔχει χρόνον. Ἔτι τὰ εἰς υνη δισύλλαβα μακροπαράληκτα. μύνη, φρύνη. Πλὴν τοῦ γυνή. τὰ δὲ ὑπὲρ τὴν δισυλλαβίαν, συστέλλεται. δικαιοσύνη, βρυθοσύνη, κορύνη. Ἐπὶ δὲ τῆς γενικῆς καὶ τῶν ἄλλων πλαγίων οὐκ ἀεὶ τὰ δίχρονα, οἷα ἀπὸ τῆς εὐθείας, ἀλλ' ἔνια μὲν μακρὰ ὄντα συστέλλεται, ἔνια δὲ ἀνάπαλιν. οἷον τὰ εἰς ιξ, ἅπαντα μακρᾷ παραλήγει, καίτοι διαφορούμενα ἐπ' εὐθείας, ὡς εἴρηται. φοίνικος, κήρυκος. Ἔτι τὰ εἰς ις, ὀξύτονα θηλυκὰ δισύλλαβα τῷ δ κλινόμενα φύσει μακροπαράληκτα, καὶ μήτε ὑποκοριστικά, μήτε κύρια, ἀπὸ μὲν τῆς εὐθείας βραχὺ ἔχει τὸ ι, ἀπὸ δὲ τῆς γενικῆς φύσει μακρόν. κνημῖδος, κληῖδος, βαλβῖδος, ἀπὸ γὰρ τοῦ βηλοῦ. τοὐναντίον δὲ τὰ εἰς ψ, βραχεῖα γάρ. ἰπός, γυπός, ὥσπερ αὖ καὶ τὰ μονοσύλλαβα. μυός, δρυός. Πλὴν τῶν δικαταλήκτων. καὶ τὸ φόρκυν δὲ καὶ πόλτυν, πλαγιαζόμενα ἐκτείνεται. Καὶ μὲν δὴ καὶ τὰ τῶν ἐπιθέτων τρισύλλαβα πάντα, βραχὺ τὸ ι σώζει, εἴτε μακρᾷ, εἴτε βραχεῖα παραλήγουσαν τὴν εὐθεῖαν ἔχοντα. αὐλητρίδος, στρατηγίδος. Τά γε μὴν παραλήγοντα καὶ ἅμα προπαραλήγοντα βραχεῖα, ἐκτείνεται ἀπὸ τῆς

gtō. ut comatæ. Poëtæ tñ & in his breue qdē ι retinēt, adi-
Regula. ijcientes κ. huius nymphę, pagaſēidis. Gñaliter aūt ante immutabilē σ ſequēte, lōga ancipitū nulla reperiť iacēs.
ω. Ω uero q̄cunq; in ωρ maſculina quidē grauia denomina-
Verbalia. tiua, longū ſic ſeruant & in gtō, & in alijs obliquis. Theō, Theonis. Quę uero ſunt uerbalia, aut coīa genere, mutāt in ο breue. ut Philemon, monis. prudens, tis. Seruant aūt
Η τε, τῷ ε. πλὴν τοῦ ταινία καὶ Ταίναρον. Μέσον τὸ ε, καὶ ι. τέρμινθος, τερεθίζειν. πλὴν τοῦ Τερηδὼν, τῷ η. Η τι πρὸ τῶν μὲν φωνηέντος, τῷ ι. τίω. Ἔτι πρὸ τοῦ γ. πλὴν τοῦ τήγανον, τῷ η. Ἔτι πρὸ τοῦ θ. τιθή. Μέσον ἐν τιθηνός, τῷ η, ἐν τιθύμαλος, τὸ υ. Ἔτι πρὸ τοῦ μ. πλὴν τοῦ τημελὲς, τῷ η. καὶ τύμπανον τὸ υ. Μέσον τὸ ε. Ἔτι πρὸ τοῦ ν, καὶ τ. πλὴν τοῦ τητῶμαι, τῷ η. καὶ τυτθὸν τῷ υ. Πρὸ δὲ τοῦ β, καὶ κ, καὶ λ, τῷ η. τήβεννος, τηκεδὼν, Τηλέφος. πλὴν τοῦ τίλλω, τῷ ι. Μέσον τὸ ε. Πρὸ δὲ τοῦ π, τῷ υ. τύπος. Ἔτι πρὸ τοῦ ρ. πλὴν τοῦ τηρεῖν, τῷ η. καὶ τείρειν, τῇ ει. Μέσον τὸ ι. Τηριδάτης. Φυλαττέσθω δὲ τοι τῶν εἰς ινος ὀξυτόνων ὁ σχηματισμός. Ἔτι πρὸ τοῦ φ. πλὴν τοῦ τίφη, τῷ ι. Πρὸ δὲ τοῦ χ. τεῖχος, τῇ ει. τοῖχος ἀρσενικογενῶς, τῇ οι. τύχη, τῷ υ, ὅθεν τὰ τυγχάνω. Η τλη, καὶ τμη, τῷ η. τλήμων, τμητόν. Η τμω, τῷ μεγάλῳ. τμῶλος. Η το, τῷ μικρῷ. πλὴν τοῦ τωθάζειν. Μέσον τὸ υ. τολύπη. καὶ τὸ μικρὸν. τοξότης. Η τρε, τῷ ε. τρέχω. Η τρι, πρὸ μὲν φωνήεντος τῷ ι. τριάς. Μέσον ἡ αι. τρίαινα. καὶ τὸ η. τριήρης. Ἔτι πρὸ τοῦ β. τρίβω, ὅθεν τὸ τρίμμα. πλὴν τοῦ τρύβλιον, τῷ υ. Ἔτι πρὸ τοῦ χ. τρίχος. πλὴν τοῦ τρύχειν, τῷ υ. Ἔτι πρὸ τοῦ γ. ἢ ζ, ἢ μ, ἢ φ, τῷ υ. τρύγω, τρύζω, τρυμός, τρυφή. Πρὸ δὲ τοῦ ρ, ἢ τ, τῷ η. πλὴν τοῦ τρίτον τῷ ι. πρὸ δὲ τοῦ σ. τρίς. τῷ ι. τρεῖς, τῇ ει. ἡ τρο, τῷ μικρῷ. πλὴν τοῦ τρώγειν, τρώγλη. Μέσον τὸ ι. τροχιλιά. Τῆς δὲ τα, καὶ τρα, Μέσον τὸ ι, τάριχος

πλὴν τοῦ

exceptis collum per υ. & quæstor per ι. & humilis per α.

Φ. Φε, per ε. pter fuscũ, clarũ, luceo. φυ, añ uocalẽ quidẽ per υ. procreo, unde tuber. pter phiala, per ι. Etiã ante γ. pter fagus, per υ. Itẽ añ κ. fucus. Rursum añ λ. pter amicus, & philyra per ι. Porrò ante ρ. miscere. Iam & añ σ. natura, inflare. Ante β tamẽ per οι. phœbus. pter carica. Et ante ν. phœnix. Præterea ante δ, per ει. parco. At ante μ, per η. fama. pter frenũ. Ante etiã τ. plãta, per υ, unde plãtare. & operã alicui dare per οι, unde discipulus. Reliqua aũt per ι. trũcus, gigno. φθι añ uocalẽ quidem per ι. phthia. Itẽ añ ν. tabesco. uerũ añ ρ, per ε. corrũpo. φθο. per ο paruũ. corruptio. φλε, per ε. exuro. φλυ, añ uocalem per υ. pter limẽ per ι. & cortex, per οι. Preterea añ κ. pustula. Añ uero ν, per η. nugæ. Cęterũ añ σ, per οι. fluct⁹. φλο per ο paruũ flãma. φο itẽ per ο paruũ. pter lumẽ, phoca, latebra, uox, fur, arca. Med. ι. pter fasciculus ex sarmẽtis per υ. φρυ, añ quidẽ ν. mens, per η. rubeta per υ. Media ι. Phrynicus. Iam uero añ κ unicõsone per ι. frigus. Etiã añ μ, & σ, & τ. fremere, horrere. Reliqua aũt per υ. sarmentũ, fax. Med. ι. phrygilus. φρο, per ο paruũ. prudens. φα aũt media est ε. phaẽton, manifestum.

Χ. Χε, per ε. pter gaudere, & coma. Med. per ι. ut hirũdo. pter labrũ per υ. & per ω mag. Cheronea, testudo. χα, an te quidẽ α per α. lustrũ. Itẽ añ λ. pter ungula per η. & succus per υ. cibus & mille per ι. Pręterea añ μ. præter pernioues per ι. Ante uero δ, per υ. fusim. Verũ ante τ, unisonsone quidẽ per ι. tunica. biconsone uero per υ. olla, olla. χθε, per ε. heri. χθω, per ω magnũ quidẽ in recto. terra. at per ο paruũ in genitiuo. terræ, unde terrestris. χλι, per ι. colluuies. χλο, per ο paruum. præter uiride. Et χνω, per ο paruum. modiolus. Et χο, per ο paruũ. pręter claudus, regio, agger. χρε, per ε. screare. χρη, seorsim posita per η. oportet. Añ uero α. usus, per α. color acute per οι. Sed añ aliã uocalẽ per ι. ungo, uñ unctus. Verũ añ μ, & σ, per η. pter aurũ per υ. χρο, per ο paruũ. pter color, & corpus. χα autẽ media ι. frenũ. pter Charybdis per υ.

Ψ. Ψε, per ε. pter accelerare, ψι, añ α quidẽ, & θ, per, ι. teges, susurrare

πλὴν τοῦ τράχηλος, τῷ η. καὶ ταμίας, τῷ ι. καὶ ταπεινός, τῇ ει.

Η φε, τῷ ε. πλὴν τοῦ φαιόν, φαιδρόν, φαίνω. Η φυ, πρὸ μὲν φωνήεντος τῷ υ. φύω, ὅθεν τὸ φῦμα. πλὴν τοῦ φιάλη, τῷ ι. Ετι πρὸ τοῦ γ. πλὴν τοῦ φηγὸς, τῷ η. Ετι πρὸ τοῦ κ. φύκος. Ετι πρὸ τοῦ λ. πλὴν τοῦ φίλος, καὶ φίλυρα, τῷ ι. Ετι πρὸ τοῦ ρ. φύρειν. Ετι πρὸ τοῦ σ. φύσις, φυσᾶν. Πρὸ δὲ τοῦ β, τῇ οι. φοῖβος. πλὴν τοῦ φιβάλις. Ετι πρὸ τοῦ ν. φοῖνιξ. Πρὸ δὲ τοῦ δ, τῇ ει. φείδομαι. πρὸ δὲ τοῦ μ, τῷ η. φήμη. πλὴν τοῦ φιμός. Πρὸ δὲ τοῦ τ. φυτόν, τῷ υ, ὅθεν τὸ φιτεύειν, καὶ φοιτᾶν, τῇ οι, ὅθεν τὸ φοιτητής. τὰ δὲ λοιπά, τῷ ι. φιτρός, φιτύω. Η φθι, πρὸ μὲν φωνήεντος, τῷ ι. φθία. Ετι πρὸ τοῦ ν, φθίνω. Πρὸ δὲ τοῦ ρ, τῇ ει. φθείρω. Η φθο, τῷ μικρῷ. φθορά. Η φλε, τῷ ε. φλέγω. Η φλυ, πρὸ μὲν φωνήεντος τῷ υ. πλὴν τοῦ φλιὰ τῷ ι. καὶ φλοιός, τῇ οι. Ετι πρὸ τοῦ κ. φλυκταῖνα. Πρὸ δὲ τοῦ ν, τῷ η. φλήναφος. πρὸ δὲ τοῦ σ, τῇ οι. φλοῖσβος. Η φλο, τῷ μικρῷ. φλόξ. Ετι ἡ φο, τῷ μικρῷ. πλὴν τοῦ φῶς, φώκη, φωλεός, φωνή, φώρ, φωριαμός. Μέσον τὸ ι. πλὴν τοῦ φορυτός, ἐπιφρυγάνων τῷ υ. Η φρη, πρὸ μὲν τοῦ ν. φρήν, τῷ η. φρῦνος, τῷ υ. Μέσον τὸ ι. φρύνιχος. Πρὸ δὲ τοῦ κ, μονοσυμφώνως τῷ ι. φρίκη. Ετι πρὸ τοῦ μ, καὶ σ, καὶ τ. φριμάσσεσθαι. φρίσσειν. Τὰ δὲ λοιπά, τῷ υ, φρύγανον, φρυκτός. Μέσον τὸ ι. φρυγίλος. ἡ φρο, τῷ μικρῷ. φρόνιμος. Τῆς δὲ φα, μέσον τὸ ι. φαέθων, φανερόν.

Η χε, τῷ ε. πλὴν τοῦ χαίρειν, καὶ χαίτη. Μέσον τὸ ι. χελιδών. πλὴν τοῦ χελύνη. καὶ τὸ μέγα χαιρώνεια, χελώνη. Η χε, πρὸ μὲν τοῦ α, τῇ ει. χειά. Ετι πρὸ τοῦ λ. πλὴν τοῦ χηλή, τῷ η. καὶ χυλός, τῷ υ. καὶ χιλός, καὶ χίλια, τῷ ι. Ετι πρὸ τοῦ μ. πλὴν τοῦ χίμετλα, τῷ ι. πρὸ δὲ τοῦ δ, τῷ υ. χύδην. πρὸ δὲ τοῦ τ, μονοσυμφώνως μὲν τῷ ι. χιτών. δισυμφώνως δὲ τῷ υ. χύτρα, χύτλον. Η χθε, τῷ ε. χθές. Η χθω, τῷ μεγάλῳ, μὲν ἐπ' εὐθείας. χθών. τῷ μικρῷ δὲ ἐπὶ γενικῆς. χθονός, ὅθεν τὸ χθόνιος. Η χλι, τῷ ι. χλιδος. Η χλο τῷ μικρῷ. πλὴν τοῦ χλωρόν. Ετι ἡ χνο, τῷ μικρῷ. χνόη. Ετι ἡ χο, τῷ μικρῷ. πλὴν τοῦ χωλός, χώρα, χῶμα. Η χρε, τῷ ε. χρέμπτεσθαι. Η χρη, μόνη τῷ η. χρή. Πρὸ δὲ τοῦ α. χρεῖα, τῇ ει. χροιὰ ὀξυτόνως, τῇ οι. Πρὸ δὲ ἑτέρου φωνήεντος τῷ ι. χρίω, ὅθεν τὸ χρισός. πρὸ δὲ τοῦ μ, καὶ σ, τῷ η. πλὴν τοῦ χρυσός, τῷ υ. Η χρο, τῷ μικρῷ. πλὴν τοῦ χρῶμα, καὶ χρώς. Τῆς δὲ χα, μέσον ι. χαλινός. πλὴν τοῦ χάρυβδις τῷ υ.

Η ψε, τῷ ε. πλὴν τοῦ ψαίρειν. Η ψι, πρὸ μὲν τοῦ α, καὶ θ, τῷ ι. ψί-

ges, susurrare. p̃ter insolens per οι. Med. υ susurrus. Item ante λ tenuis. p̃ter cõtrectare per η. & pulex per υ. Et ante ν. uitis decidua. p̃ter culex per η. Ante uero γ, per η. radere, unde ramentũ, & strigilis. Item ante φ. suffragiũ. At ante κ, uel χ, per υ. peluis, frigidum. ψο, per ο paruũ. fumosus. p̃ter imũ panis, apella, turunda, scabies, cõfrico. & ψα quidẽ media υ. fragile. Et α media ι. aquila, armentũ, Diana. p̃ter rarus, purus, palpito, Achiu°, ascęra. Itẽ η in βδη. abdera. & in βλη. molle. Rursum in θη. Minerua. p̃ter ludo per υ. p̃terea in δη. angor. In θρη etiã. athrena. p̃ter Athribes per ι. & cõgrego per οι. Etiã in λη. mẽdicus. p̃ter ungo per ει. & mœreo, reo per υ. Itẽ in πη. sæuus. & in σκλη. Aesculapius. Rursum in τη. Atelas. & in χθη. dolor. & in γη. dolor. p̃ter tristifico per υ. & anxius per ει. Cęterũ in arbela per η. In ϐρι uero per ι. uerax. p̃ter illustro per υ. Itẽ in γι. sanctũ. p̃ter ueneror per η. & uia per υι. & circulator, argẽtũ per υ. & cõgrego per ει. Itẽ añ γνι, nisi à uerbis in ενω. Itẽ in γρι. agreste. p̃ter furcilla per ει. & agrœle, agricola per οι. Rursum in δρι. Adria. p̃ter cresco per υ. uirilis per ει. Etiã per seipsum. audio. p̃ter luscinia per η. Itẽ in κι. tenue. p̃ter anchora, curuũ, glãs, alcyõ per υ. & alcestis per η. Porrò in κρι. exactus. Item in νι. ango. p̃ter perficio per υ. Etiã in ξι, dignor. Itẽ in ρι. numerus. p̃ter adiuuo per η. haurio per υ. Itẽ in σι. asione. Itẽ in χι. Achilles. p̃ter paleæ per υ. Itẽ in ψι. Apsines. p̃ter illimis per υ. Rursum in φι. farinę. p̃ter alphe° per ει. & industrius per η. & apua, haurio per υ. Etiã in τι. ęq̃le. In μυ uero per υ. adiuuo. p̃ter permuto per ει. & messis per η. & certamẽ per ι. Itẽ in χρυ. achryllis. Itẽ in βυ. abyd°. p̃ter abigas per ι. & Arbela per η. Itẽ in βω, per ω ma. aboras. Rursum in γω. educatio. p̃ter forũ, & uola. Itẽ in γρω. p̃ter rusticitas. Itẽ in δω. Adonis. Etiã in ϐρω. serpo. Itẽ in πω. æstus. Itẽ in θρω. homo. Itẽ in σκω. per utrẽ saltare. In σω. asopus. Itẽ in βρο, ο paruũ. abrotonũ. Rursum in κο. cos. p̃ter cuspis. Itẽ in κρο. auditor, p̃ter ꝓmontoriũ. Itẽ in λο. capio. excepto uulpes. Et in μο. cõuenio. p̃ter Amoriũ. Rursum in ρο. aratrũ. p̃ter suffimẽtum. Itẽ in σφο. ferula. Etiã in φρο. Venus. Prima igiť, & simplicia

αθος, ψιθυρίζειν. πλὴν τοῦ ψοίθης, τῇ οι. Μέσον τὸ υ. ψιθύρισμα. Ετι πρὸ τοῦ λ. ψιλός. πλὴν τοῦ ψηλαφᾶν, τῷ η. καὶ ψύλλα τῷ υ. Ετι πρὸ τοῦ ν. ψινάς. πλὴν τοῦ ψήν, τῷ η. Πρὸ δὲ τοῦ γ, τῷ η. ψήχειν, ὅθεν τὸ ψῆγμα, ϗ ψήκτρον. Ετι πρὸ τοῦ φ. ψῆφος. Πρὸ δὲ τοῦ κ, ἢ χ, τῷ υ. ψυκτὴρ, ψυκτόν. Η ψο, τῷ μικρῷ. ψολόης. πλὴν τοῦ ψώθιον, ψωλός, ψωνὸς, ψώρα, ψώχω. Καὶ τῆς ψα δὲ, μέσον τὸ υ. ψαθυρόν. Καὶ τῆς α δὲ μέσον τὸ ε. ἀετός, ἀγέλη, ἄρθεμις. πλὴν τῶν ἀραιός, ἀκραιφνής, ἀσπαίρω, ἀχαιός, ἀσκαῖρα. Καὶ τὸ η ἐν βδη. ἄβδηρα. Ετι ἐν βλη. ἀβληχρόν. Ετι ἐν θη. ἀθηνᾶ. πλὴν τοῦ ἀθύρω, τῷ υ. Ετι ἐν δη. ἀδημονῶ. Ετι ἐν θρη. ἀθρήνη. πλὴν τῶν ἀθριβὴς τῷ ι. ϗ ἀθροίζω, τῇ οι. Ετι ἐν λη. ἀλήτης. πλὴν τῶν ἀλείφω, τῇ ει. ϗ ἀλύω, ἀλύσσω, τῷ υ. Ετι ἐν πη. ἀπηνής. Ετι ἐν σκλη. ἀσκληπιός. Ετι ἐν τη. ἀτήλας. Ετι ἐν χθη. ἀχθηδών. Ετι ἐν γη. ἀλγηδών. πλὴν τοῦ ἀλγύνω, τῷ υ. ϗ ἀλγεινός, τῇ ει. Εν δὲ ἄρβηλα τῷ η, Εν βρι, τῷ ι. ἀβρικές. πλὴν τοῦ ἀβρύνω, τῷ υ. Ετι ἐν γι. ἄγιον. πλὴν τοῦ ἀγήλω, τῷ η. ϗ ἀγυιά, τῇ υι. ϗ ἀγύρτης, ἄργυρος, τῷ υ. ϗ ἀγείρω, τῇ ει. Ετι ἐν γνι, εἰ μὴ ἀπὸ τοῦ ευω. Ετι ἐν γρι. ἄγριον. πλὴν τῶν ἀγρείφνη, τῇ δὲ. ϗ ἀγροίλη, ἀγροιώτης, τῇ οι. Ετι ἐν δρι. ἀδρίας. πλὴν τῶν ἀδρύνω, τῷ υ. καὶ ἀνδρεῖος, τῇ ει. Ετι καθ' αὑτό. ἀίω. πλὴν τοῦ ἀηδών, τῷ η. Ετι ἐν κι. ἀκιδνόν. πλὴν τῶν ἄγκυρα, ἀγκύλον, ἄκυλον, ἀλκυὼν, τῷ υ. ϗ ἄληκσις, τῷ η. Ετι ἐν κρι. ἀκριβής. Ετι ἐν νι. ἀνιῶ. πλὴν τοῦ ἀνύω, τῷ υ. Ετι ἐν ξι. ἀξιῶ. Ετι ἐν ρι. ἀριθμός. πλὴν τοῦ ἀρήγω, τῷ η. ἀρύτομαι, τῷ υ. Ετι ἐν σι. ἀσιώνη. Ετι ἐν χι. Αχιλλεύς. πλὴν τοῦ ἄχυρα, τῷ υ. Ετι ἐν ψι. ἀψίνης. πλὴν τοῦ ἄψυρος, τῷ υ. Ετι ἐν φι, ἄλφιζω. πλὴν τοῦ ἀλφειός, τῇ ει. ϗ ἀλφηστής, τῷ η. ϗ ἀφύη, ἀφύσσω, τῷ υ. Ετι ἐν τι. ἄρτιον. Εν δὲ μυ, τῷ υ. ἀμύνω. πλὴν τοῦ ἀμείβω, τῇ ει. ϗ ἄμητος, τῷ η. ϗ ἅμιλλα, τῷ ι. Ετι ἐν χρυ. ἀχρυλλίς. Ετι ἐν βυ. ἄβυδος. πλὴν τοῦ ἀβίγας, τῷ ι. ϗ ἄρβηλα, τῷ η. Ετι ἐν μὲν βω, τὸ μέγα. ἀβώρας. Ετι ἐν γω. ἀγωγή. πλὴν τοῦ ἀγορά, ϗ ἀγοσός. Ετι ἐν γρω. πλὴν τοῦ ἀγρότης. Ετι ἐν δω. ἄδωνις. Ετι ἐν βλω. ἀβλώσκω. Ετι ἐν πω. ἄμπωτις. Ετι ἐν θρω. ἄνθρωπος. Ετι ἐν σκω. σκωλιάζειν. Ετι ἐν σω. ἀσωπός. Ετι ἐν βρο, τὸ μικρόν. ἀβρότονον. Ετι ἐν κο. ἀκόνη. πλὴν τοῦ ἀκωκή. Ετι ἐν κρο. ἀκροάτης. πλὴν τοῦ ἀκρωτήριον. Ετι ἐν λο. ἀλοῶ. πλὴν τοῦ ἀλώπηξ. Ετι ἐν μο. ἁρμόττω. πλὴν τοῦ ἀμώριον. Ετι ἐν ρο. ἄροτρον. πλὴν τοῦ ἄρωμα. Ετι ἐν σφο. ἀσφόδελος. Ετι ἐν φρο, ἀφροδίτη. Τὰ μὲν οὖν πρῶτα ϗ

Etymologiæ ratio. simplicia sic sumere oportet, quæ uero sunt ex his, facile est originē sequētibus rectè scribere. ut polydorus. ly scribitur quidē per υ, δω uero per ω mag. quod ex multū. & donū. Et conferre, nēpe συμ per υ, φι uero per ι, quod ex con, & fero cōponit. Itē suffragor per υ, quod à suffragiū, & decretū etiā per ι. quia à decerno.

CONSONANTIVM DVPLICATIO.

FRequēs sanè in orthographia cōsonantiū quoq; geminatio. Duplicant em̄ in qbusdam & mediæ, & tenues, immutabilesq;, & σ. queadmodū deiecit, angelus, abunde, granū, equus, atticus, alius, portio, thynnus, ꝑcul, mare. duplex uero, uel aspirata, nunq̄. Fit autē huiusmodi uel ꝑpter meliorē sonū. ut sed, & pinna, & arena, & equus, & alia hmōi. uel ꝑductionis causa. ut psallo. uel iuxta cognationē, & mutationē. ut spōsio. Etenim *Litera υ in cōpositione.* υ neq; anī γ, aut κ, aut χ, aut ξ seruat cōposita, sed uertit in γ. ut sponsio, cerebrū, confundo, cohospitor. Neq; anī β, uel π, uel φ, uel ψ, uel μ, sed in μ mutatur. ut cōsiliarius, cōpotor, consonās, consuffragator, cōmilito. At nec anī λ, aut ρ. aut σ, sed in sequentē literā ipsam uertitur. syllaba, confluens, sodalis. Vnde sanè & q̄ ab in ιος masculinis fiunt, fœminina in σα, duplici scribunt σ. uenust°, uenusta. Nam à uenusti genitiuo fiunt, mutata quidē υ, ut
Γ. dictū est. Γ quoq; conduplicari cōtingit, & μ, & λ, & ρ, & σ. Ipsam uero υ & in cōpositione accidit geminari syllaba ab eadē incipiēte. cogitatio, cogitabūdus. Ac rursum in uerbis in νω deriuatis à desinētibus in νω puris uerbis. luo, luo. & ibi quidē, & in uerbis in μι, υ seruantibus. luo. Contrariū uero accidit, ut scilicet deficiat υ in cōpositiōibus omnino, in quibus s sequit. contraho, cōgeratio, se-
Λ. ries. Cæterū λ duplatur id uerbis quartæ nō longa natura penultimantibus. ut floreo, distinguo, tremo, orior,
M. pereo. exceptis uolo, & sum. Porrò μ & mutatione β, geminat, ut in uerbis primæ coniug. scriptus sum, uer-
P. beratus sum. P aūt & mutatione σ geminat, ꝑpter cognationē uidelicet & hoc. fuluū, fuluū. procul, procul.

Generaliter

ἁπλᾶ οὕτω ληπτέον. τὰ δ᾽ ἐκ τούτων, οὐ χαλεπὸν δὴ ἐτυμολογοῦντας ὀρθογραφεῖν. οἷον πολύδωρος. ἡ μὲν λυ. τῷ υ, ἡ δὲ δω. τῷ μεγάλῳ, ὅτι ἐκ τοῦ πολὺ καὶ τοῦ δῶρον. Καὶ συμφέρειν. ἡ μὲν συμ, τῷ υ, ἡ δὲ φε, τῷ ε, ὅτι ἐκ τῆς συν, καὶ τοῦ φέρω. Καὶ ψηφίζομαι, τῷ η, ὅτι ἀπὸ τοῦ ψῆφος, καὶ ψήφισμα ἔτι τῷ ι, ὅτι ἀπὸ τοῦ ψηφίζομαι.

ΣΥΜΦΩΝΩΝ ΔΙΠΛΑΣΙΑΣΜΟΣ.

Κοινὸν δὲ ἄρα ὀρθογραφίας περὶ καὶ ὁ τῶν συμφώνων διπλασιασμός. Διπλασιάζεται γὰρ ἐπ᾽ ἐνίων τά τε μέσα, καὶ τὰ ψιλά, ταὶ τὰ ἀμετάβολα. καὶ τὸ σ. οἷον κάββαλεν, ἄγγελος, ἄδδην, κόκκος, ἵππος, ἀττικός, ἄλλος, συμμορία, θύννος, πόῤῥω, θάλασσα. διπλοῦν δὲ, ἢ δασὺ, οὐδέποτε. Γίνεται δὲ τὸ τοιοῦτο, ἢ διὰ τὸ εὐφωνότερον. οἷον τὸ ἀλλά, καὶ πίννα, καὶ ἄμμος, καὶ ἵππος, καὶ τὰ τοιαῦτα. ἢ τοῦ μακροῦ χάριν. οἷον ψάλλω. ἢ κατὰ συμπάθειαν καὶ μεταβολήν. οἷον ἐγγύη. Τὸ γάρ τοι ν, οὔτε πρὸ τοῦ γ, ἢ κ, ἢ χ, ἢ ξ σώζεται συντιθέμενον, ἀλλὰ τρέπεται εἰς τὸ γ. οἷον ἐγγύη, ἐγκέφαλος, συγχέω, συγξενίζω. Οὔτε πρὸ τοῦ β, ἢ π, ἢ φ, ἢ ψ, ἢ μ, ἀλλ᾽ εἰς τὸ μ μεταβάλλει. οἷον σύμβουλος, συμπότης, σύμφωνος, σύμψηφος, σύμμαχος. Οὔτε μὴν πρὸ τοῦ λ, ἢ ρ, ἢ σ, ἀλλ᾽ εἰς τὸ ἑπόμενον αὐτὸ τρέπεται. συλλαβή, σύῤῥους, σύσσιτος. Ὅθεν δὴ καὶ τὰ ἀπὸ τῶν εἰς εις ἀρσενικῶν θηλυκὰ εἰς σσα, τῷ διττῷ γράφεται σσ. χαρίεις, χαρίεσσα, ἀπὸ γὰρ τοῦ χαρίεντος, μεταβάλλοντος μὲν δὴ τοῦ ν, ὡς εἴρηται. Τό, τε γ διπλασιάζεσθαι συμβαίνει, καὶ τὸ μ, καὶ λ, καὶ ρ, καὶ σ. αὐτὸ δὲ τὸ ν. ἔντε τῇ συνθέσει συμβαίνει διπλασιάζεσθαι, τῆς συλλαβῆς ἀπὸ τοῦ αὐτοῦ ἀρχομένης. ἔννοια, σύννους. Καὶ ἄλλως ἐπὶ τῶν εἰς υω παραγομένων ἀπὸ τῶν εἰς νω καθαρῶν ῥημάτων. τίνω, τιννύω. κἀντεῦθεν καὶ ἐπὶ τῶν εἰς μι, φυλασσομένων. τίννυμι. Τοὐναντίον δὲ συμβαίνει ἐκλείπειν ν, ἐν ταῖς συνθέσεσι παντελῶς ἐφ᾽ ὧν στ ἕπεται. συστέλλω, σύστημα, συστοιχία.

Τὸ δὲ λ, διπλοῦν καὶ ἐπὶ τῶν τεταρτοζύγων μὴ μακρᾷ φύσει παραληγόντων. οἷον θάλλω, ποικίλλω, βδύλλω, ἀνατέλλω, ὄλλω. πλὴν τοῦ θέλω, καὶ πέλω. Τὸ δὲ μ, καὶ μεταβολῇ τοῦ β, διπλασιάζεται, οἷον ἐπὶ τῶν πρωτοζύγων. γέγραμμαι, τέτυμμαι. Τὸ δὲ ρ, καὶ μεταβολῇ τοῦ σ, διπλασιάζεται, διὰ τὸ συγγενὲς δηλονότι, καὶ τοῦτο. πυρσόν, πυῤῥόν. πόρσω, πόῤῥω.

Gnaliter aūt & quādo principiū dictiōis cōponeſ cū deſi nentib. in uoca. uerbū, aduerb. locutio, pdicatio. ualidus, inualidus. Perinde ut qđ, augmento fit ſyllabico. pijcio, proijciebā. Excipiātur cōpoſita ab ευ. robuſtus. Circunſluum uero, & imperfectū, propter carmē nō aſſumpſere duplicē. Verū σ duplex etiā in finitis in σα fœmininis gentilibus. Ciliſſa, Libyſſa, Threſſa, Magneſſa. Itē in Ionicis datiuis noīm quintæ inflex. oībus, feris. atq; in his q̄ apud Atticos in duplex mutanſ ττ. lingua, gua. duplex, plex. fodio, dio. Aequabilius tamē in uerbo fodio, & ſimilibus ſcribere, fodio, quēadmodū in uetuſtioribus exēplaribus uidemns. Nō abſimiles uero his poētarū ppter carmen duplicationes. nam à δ, uel σ, uel aliqua immutabiliū incipiētia uerba gemināt, declinata in ptō imper. & indefinito. ut timuit, impulſus eſt, ſortit9 eſt, tus eſt, habitabat. dicebat uero cō e eſt. Pręterea & in noībus immutabiles, & σ duplicanſ. perpetuū, ennoſigeus, regio maritima, mediū. Atqui in futuris cōiug. tertiæ, & indefinitis. ut extinguā, extinxi. ridebo, riſi. deiecit uero ptm̄, & decidit, atq; his ſimilia, nō ppter metrū geminanſ, ſed qa trāſit τ in ſequentē cōſonantē, propter cōcinnitatē meliorē, eliſa litera α. deiecit, iecit. ſecundū uero, dū uero. Porrò geminanſ δ, & π in aduerbijs. abūde, qn̄. & τ in qđ. Manifeſtū ſanè & hinc, qđ uim habet breuiādi deriuatio. ſiquidem nouē duplici ν ſcribiſ, nonū uero ſimplici. & quatuor quidē, quartū cōtra. Itidē uireſco & uiride, cōſimiliter uero & in alijs. Sed de accētu quidē, & orthographia ſufficienter propè dictū eſt.

σ duplicatio.

THEO.

FINIS TERTII.

e

Καθόλου δὲ καὶ ὅταν ἀρχόμενον λέξεως συντεθῇ τοῖς λήγουσιν εἰς φωνῆεν. ῥῆμα, ἐπίῤῥημα. ῥῆσις, ἀνάῤῥησις. ῥώστος, ἄῤῥωστος. οἷον πως καὶ τὸ αὐξήσει γινόμενον συλλαβικῇ. ῥίπτω, ἔῤῥιπτον. Εξαιρείσθω τὰ ἐκ τῆς εὖ. εὔρωστος. τὸ δὲ ἀμφίρυτον, καὶ ἄρεκτον, διὰ μέτρον οὐκ ἀπείληφε τὸ διπλοῦν, τὸ δὲ σ. διπλοῦν, καὶ ἐπὶ τῶν εἰς σσα θηλυκῶν, ἐθνικῶν. Κίλισσα, Λίβυσσα, Θρᾷσσα, Μάγνησσα. Καὶ ἐπὶ τῆς Ιωνικῆς δοτικῆς τῶν πεμπτοκλίτων. πάντεσσι, θήρεσσι. καὶ τῶν τοῖς ἀττικοῖς, εἰς τὸ διττὸν μεταποιουμένων ττ. γλῶσσα, γλῶττα. δισσόν, διττόν. ὀρύσσω, ὀρύττω. Εὐλογώτερον μέντοι ἐπὶ τοῦ ὀρύττω, καὶ τῶν ὁμοίων, τὸ γράφειν, ὀρύσσω, καθάπερ κἀν τοῖς παλαιοτέροις τῶν ἀντιγράφων ὁρῶμεν. Οὐκ ἔξω δὲ καὶ τούτων οὐδὲ οἱ τῶν ποιητῶν διὰ τὸ μέτρον διπλασιασμοί. τὰ γὰρ ἀπὸ τοῦ δ, ἢ σ, ἢ τούτων ἀμεταβόλων ἀρχόμενα ῥήματα διπλασιάζουσι κλινόμενα εἰς παρατατικὸν καὶ ἀόριστον. οἷον ἔδδεισεν, ἔσσυτο, ἔλλαχεν, ἔμμορεν, ἔνναιεν. Τὸ δ' ἔῤῥεεν κοινόν. Κἀπὶ τῶν ὀνομάτων δὲ τάτε ἀμετάβολα καὶ τὸ σ, ἄλληκτον, ἐννοσίγαιος, παῤῥαλίη, μέσσον. Καὶ μὲν ἐπὶ τῶν τριτοσζύγων μελλόντων καὶ ἀορίστων. οἷον σβέσσω, ἔσβεσσα. γελάσσω, ἐγέλασσα. Τὸ δὲ κάββαλεν, καὶ κάππεσεν, καὶ τὰ τοιαῦτα, οὐχ ἕνεκα μέτρου διπλασιάζεται ἀλλὰ τοῦ τ, μεταβάλλοντος εἰς τὸ ἑπόμενον σύμφωνον, δι' εὐφωνίαν ἀποκοπέντος τοῦ α. κατάβαλεν, κάββαλεν. κατὰ δέ, καδδέ. Ετι τὸ δ, καὶ π ἐν τοῖς ἐπιῤῥήμασιν. ἄδδην. ὁππότε. καὶ τὸ τ, ἐν τῷ ὅττι. Δῆλον δ' ἄρα κἀντεῦθεν ὅτι βραχυντικὸν ἡ παραγωγή. ἐννέα μὲν γὰρ τῷ διπλῷ, ἔνατον δὲ τῷ ἁπλῷ. καὶ τέτταρα μέν, τέταρτον δέ. καὶ θάλλω μέν, θαλερὸν δέ. Ωσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Αλλὰ περὶ μὲν προσωδίας τε, καὶ ὀρθογραφίας. ἀποχρώντως σχεδόν τι εἴρηται.

ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ.

THEODORI GRAMMATICAE INSTITVTIONIS LIBER QVARTVS.



Eliquũ autẽ eſt, de cõſtrućtione partiũ orationis dicere. nã grãmatici etiã circa hæc cõſyderatio. Et ſanè hmõdi cõſtrućtiõis & oratiõis cauſa ĩs tractat, q de ſingulis octo orationis partib⁹, cõſyderat, ut ſe habeãt uel inflexione, uel formatione, uel accẽtu, uel orthographia. perinde atq; dialećticus ob collećtiuã orationẽ de nomine, & uerbo, ac propoſitione cõtemplaẽ. Dicendũ igitur quo pacto orationis partes apte inuicẽ ac debite connexæ, abſoluant orationẽ, ut demũ finẽ introdućtio accipiat. Et diuidendum accuratius unũ quodq;, ac definiendũ hic.

DEFINITIO LITERAE.

Incipiendum aũt fortaſſe ab initio, nẽpe à literis. Sunt enim hæ prima & indiuidua hoĩs uox. Siquidẽ nõ fortuito cõnećtũtur inuicẽ ad conſtitutionẽ ſyllabæ, ſed (ut uocabulũ quoq; indicat) ſerie, atq; ordine incedunt, cõponunturq; certa ratione. Diuiſio literarum.

Ex literis igitur aliæ quidẽ per ſe cõſtituũt ac perficiũt uocẽ, ut q̃ uocales appellaẽ. aliæ uero ſtrepitũ, ut cõſonãtes oẽs, uocẽ aũt nequaq̃ abſq; uocaliũ cõnexione. Ex his pterea aliæ quidẽ ſtrepũt imperfećtius. ut mutæ. aliæ uero perfećtius. ut ſemiuocales. Ex uniuerſis aũt aliæ qdẽ p̃poſitiuæ, aliæ uero ſubiũćtiuæ. Inter uocales eñ p̃poſitiuæ, ut in diphthõgis, ſunt α, ε, ο. Subiũćtiuæ uero ι, υ. p̃ponit tñ etiã υ literę ι. ut in muſca, & filius, & harpyia, atq; alijs plurib⁹. Porrò ex cõſonãtibus p̃poſitiuæ (ut q̃ nunq̃ in fine ponaẽ dićtiõis) ſunt aſpiratæ, & tenues, & mediæ. Itẽ ex immutabilibus λ, & μ. Ex duplicibus ζ. atq; ex aſpiratis φ,

ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ ΤΩΝ ΕΙΣ ΤΕΣΣΑΡΑ ΤΟ Δ.



οιπὸν δὲ περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν εἰπεῖν. γραμματικοῦ γὰρ καὶ ἡ περὶ ταῦτα θεωρία. καὶ τῆς γε τοιαύτης συντάξεως, καὶ τοῦ λόγου ἕνεκα πραγματεύεται, ὁ περὶ ἑκάστου τῶν ὀκτὼ τοῦ λόγου μερῶν σκεπτόμενος, ὡς ἔχει, ἤτοι κλίσεως ἢ σχηματισμοῦ, ἢ προσῳδίας, ἢ ὀρθογραφίας. καθάπερ καὶ ὁ διαλεκτικὸς τοῦ συλλογιστικοῦ λόγου ἕνεκα. περὶ ὀνόματος, καὶ ῥήματος, καὶ προτάσεως θεωρεῖ. Λεκτέον τοίνυν καὶ ὅπως ἂν τὰ τοῦ λόγου μέρη ἀλλήλοις ὀρθῶς συνταττόμενα ἀποτελοῖη τὸν λόγον, ἵνα τέλος ἡ εἰσαγωγὴ ἔχῃ. καὶ διαιρετέον ἀκριβέστερον ἕκαστα, καὶ ὁριστέον ἐνταῦθα.

ΟΡΟΣ ΣΤΟΙΧΕΙΟΥ.

Αρκτέον δ' ἴσως ἀπὸ τοῦ πρώτου, οἷον τῶν στοιχείων. Ταῦτα γὰρ ἡ πρώτη καὶ ἀμερής ἐστι τοῦ ἀνθρώπου φωνή. Οὐ γὰρ ὡς ἔτυχεν ἐπιπλέκεται ἀλλήλοις εἰς σύστασιν συλλαβῆς, ἀλλ' ὡς καὶ τοὔνομα δηλοῖ, στείχει τε καὶ εὐτάκτως κινούμενά πως συντάσσεται κατὰ λόγον.

Διαίρεσις τῶν στοιχείων.

Τῶν οὖν στοιχείων τὰ μὲν ἀφ' ἑαυτῶν τυγχάνει ἀποτελοῦντα φωνὴν, οἷον τὰ φωνήεντα καλούμενα. τὰ δὲ ψόφον, οἷον τὰ σύμφωνα πάντα, φωνὴν δ' οὔ, ἄνευ τῆς τῶν φωνηέντων ἐπιπλοκῆς. Τούτων δ' αὖ πάλιν τὰ μὲν ψόφον ἀτελέστερον. οἷον τὰ ἄφωνα. τὰ δὲ τελεώτερον. οἷον τὰ ἡμίφωνα. Συμπάντων δὲ, τὰ μὲν προτακτικὰ, τὰ δὲ ὑποτακτικά. τῶν μὲν γὰρ φωνηέντων προτακτικὰ, ὡς ἐπὶ τῶν διφθόγγων, τὰ α, ε, ο. ὑποτακτικὰ δὲ τὰ, ι, υ. προτακτικὸν γε μὴν καὶ αὐτὸ τὸ υ τοῦ ι, ὡς ἐπὶ τοῦ μυῖα, καὶ υἱὸς, καὶ ἅρπυια, καὶ ἑτέρων πλειόνων. Τῶν δὲ συμφώνων προτακτικὰ μὲν, ὡς οὐδαμοῦ ἐπὶ τέλει τασσόμενα λέξεως, τὰ δασέα, καὶ ψιλὰ, καὶ μέσα. τῶν ἀμεταβόλων τὸ λ, καὶ μ. καὶ τῶν διπλῶν τὸ ζ. Καὶ τῶν μὲν δασέων,

ratis φ, & χ, recipiũt quidẽ θ. inimicus, corruptio. Cõtra aũt nõ. Cum his uero similiter & tenues, & mediæ se habent. radius, tãgo, octauũ, sugo. nisi qđ cõbinatio γδ in postpositiua tm̃ syllaba nõ inueniat. Preterea aspiratę tenuibusq; & medijs nũq̃ in eadẽ syll. p̃ponunt, uerũ postponũtur tenuibus in dirẽptione. Atthis, Sappho, Iacch⁹. Non itẽ uero & cũ medijs. immutabiles.

Cæterũ ex immutabilibus ν añ μ collocari nõ potest in eadẽ dictione. Vnde etiã in inflexus sum, & iudicatus sum, añ μ, ν incidens abijcit. Postponi tñ potest utrobiq;. ut in memoria, agnus. Cõtra aũt σ. Nunq̃ em̃ postponitur μ in eadem dictione, q̃uis λ, & ν, rarẽter tñ, ut in mare, & Tyrins, & lũbricus. ρ, uero sæpissime. uastabo, teda. p̃pterea quod & uocalis uim habeat ρ. Atqui ip̃m ρ, nusq̃ p̃ponit iunctũ alteri. Præterea aspiratarũ θ, & χ cõiunctæ literæ μ, absoluũt syllabã sequẽtẽ, pręcedentẽ uero non. numerus, ariditas. Similiter uero & ex tenuibus κ, & ex medijs γ. uigor, ordo. Idẽ etiã accidit literæ γ, cũ δ subsequitur, octauus. Et φ, & τ, añ ν. faba elixa, diueş. Pręterea θ, & χ, cum λ, & ν, & ρ, immutabilibus componunt, ac p̃cedunt tã ad primariã syllabã, q̃ ad subsequentem, cum μ uero ad subsequentẽ solũ, ut dictũ est. Similiter aũt & φ, & sibi cognatæ ad λ, & ρ. At in solam subsequentẽ ad ν. repẽte. Porrò incõplexi ad μ se habẽt oĩno. Cęterũ tenues, & mediæ cũ immutabilibus ordinantur, quemadmodũ θ, & χ. dẽpto ϖ, hostiliter sę habẽte ad μ. dempto & τ, qđ non cõponitur cum ν in initiali quidẽ syllaba. μ tñ p̃assumpto subiungit utrobiq;. sectio, uapor. Excepto itẽ & β, incohęrẽter cum μ, & ν se habẽte p̃rsus. Rursum & p̃ter δ cũ μ & implicato quidẽ, & applicato. seruus, indomitus. qđ cũ λ nullo modo possit cõuenire. In summa omnis, cõsonãs si inter duas cadat uocaleis in eadẽ dictione, cum secũda p̃ferẽda est. duco, fero. & si nõ fuerit una dictio, sed duæ, patiaturq; elisionẽ prima uocalis, q̃ apostrophũ p̃cedit, cũ sequẽte uocali est copulanda. ut aduersus illũ, aduersus illũ. Rursum si cõtingat in principio dictionis consonã p̃cedere conson. in cõplexu, nec in

σέων, τὸ φ, καὶ χ ἐπιδέχεται τὸ θ. ἐχθρός, φθορά. ἀνάπαλιν δ' οὔ. τούτοις δ' ὁμοίως καὶ τὰ ψιλά τε, καὶ μέσα ἔχει. ἀκτίς, ἅπτω, ὄγδοον, βδέλλω. ὅτι μὴ ἡ τῶν γδ σύνταξις ἐστὶν ὑποτακτικῆς συλλαβῆς μόνον. Ετι τε τὰ δασέα τοῖς ψιλοῖς τε, καὶ μέσοις οὐδέποτε συμφέρεται, προτασσόμενα, ὑποτασσόμενα δὲ τοῖς ψιλοῖς, καὶ ἐν διαστάσει. Ατθίς, Σαπφώ, Ιακχος. οὐκ ἔτι δὲ καὶ τοῖς μέσοις.

Αμετάβολα.

Τῶν δὲ ἀμεταβόλων τὸ μὲν ν, πρὸ τοῦ μ κεῖσθαι οὐ πέφυκεν ἐπὶ τῆς αὐτῆς λέξεως. διὸ καὶ ἐπὶ τοῦ κέκλιμαι, καὶ κέκριμαι, τὸ πρὸ τοῦ μ συμβαῖνον ν ἀποβάλλεται. ἐπικεῖσθαι μέντοι κατ' ἄμφω. ὡς ἐπὶ τοῦ μνεία, ἀμνός. ἀνάπαλιν δὲ τὸ σ. οὐδέποτε γὰρ ὑποτακτικὸν τοῦ μ ἐπὶ τῆς αὐτῆς. καίτοι τοῦ λ, καὶ ν, σπανίως μέντοι. ὡς ἐπὶ τοῦ ἄλς, καὶ τίρυνς, καὶ ἕλμινς. Τοῦ δὲ ρ, εὔμαλα· πέρσω, πυρσός. διὰ τὸ φωνήεντος δύναμιν ἔχειν τὸ ρ. αὐτὸ δέ τι ρ, οὐκ ἔστιν ὅπου προτάσσοιτ' ἂν συντασσόμενον. Ετι τῶν δασέων τὸ θ, καὶ χ, συζευγνύμενα τῷ μ, ἀποτελεῖ συλλαβὴν ὑποτακτικήν, προτακτικὴν δ' οὔ. ἀριθμός, αὐχμός. Ωσαύτως δὲ καὶ τῶν ψιλῶν, τὸ κ, καὶ τῶν μέσων τὸ γ. ἀκμή, ὄγμος. Ταυτὸ δὲ τοῦτο συμβαίνει καὶ πρὸ τοῦ δ, τῷ γ. ὄγδοος. καὶ τῷ φ. καὶ τ πρὸ τοῦ ν. ἔτνος, ἀφνειός. Ετι τὸ θ, καὶ χ τῷ μὲν λ καὶ ν, καὶ ρ, τῶν ἀμεταβόλων, συντάσσεται προτιθέμενα, εἴς τε προτακτικὴν συλλαβήν, εἴς τε ὑποτακτικήν. τῷ δὲ μ εἰς ὑποτακτικὴν μόνον, ὡς εἴρηται. Τὸ δὲ φ, ὁμοίως μὲν καὶ τὰ σύστοιχα πρὸς τὸ λ, καὶ ρ. εἰς μόνην δὲ ὑποτακτικὴν πρὸς τὸ ν. ἄφνω. ἀσυλλήπτως δὲ πρὸς τὸ μ ἔχει παντάπασι. Καὶ τὰ ψιλὰ δέ, καὶ μέσα τοῖς ἀμεταβόλοις συντάσσεται, ὡς τὸ θ, καὶ χ· πλὴν τοῦ π, ἀσυμβάτως ἔχοντος πρὸς τὸ μ. Καὶ πλὴν τοῦ τ, ἀσυντάκτου μὲν τῷ ν, εἰς προτακτικὴν συλλαβήν. Τὸ μ δὲ προσλαμβάνοντος ὑποτακτικὸν ἐπ' ἄμφω. τμῆμα, ἀτμίς. Καὶ πλὴν τοῦ β, ἀσυντάκτως πρὸς τὸ μ, καὶ ν, ἔχοντος ὅλως. καὶ πλὴν τοῦ δ, τῷ μὲν μ, καὶ ἐπιπλεκομένου, καὶ προπλεκομένου. δμώς, ἄδμητος. τῷ δὲ λ μηδ' ὅλως οἵου τε ὄντος συνάπτεσθαι. Καθόλου δὲ πᾶν σύμφωνον μεταξὺ ὂν δυοῖν φωνηέντοιν περὶ μίαν λέξιν, τῷ δευτέρῳ συλλαβιστέον. ἄγω, φέρω. καὶ ἐὰν μὴ ᾖ δὲ μία λέξις, ἀλλὰ δύο, πάθῃ δὲ ἔκθλιψιν ἡ πρώτη, τὸ πρὸ τῆς ἀποστρόφου σύμφωνον τῷ ἑπομένῳ φωνήεντι συντακτέον. κατὰ ἐκείνου, κατ' ἐκείνου. Ετι ἐὰν τύχῃ κατ' ἀρχὴν λέξεως σύμφωνον συμφώνου ἡγησάμενον ἐν συλλήψει,

nec in medio quidẽ dictiõis cõpositę separanť. Atq; oĩno si q in initio dictionis cõson. diuersæ speciei cõsonãtibus natæ sunt cõiungi, eædẽ sane & in med. dictionis inueniri possunt cohærẽtes. ut iniuria, qa madeo. ager, qa scribo. armatura, quia nauigo. hymn⁹, quia memoria. Quæ uero minus, dirimunť semper. Nõ igiť in bonũ cohærẽt, qď nulla dictio à cõiunctis σθλ in eadẽ syll. incipiat. neq; octauũ, cũ nõ sit, q̃ γδ ordiať. neq; tumor, qď nulla à γκ. Itẽ eiusdẽ noĩs cõsonãtes nunq̃ cõiunguntť. excido igiť, & timuit, & deiecit, atq; id gen⁹ alia, dirimũť. Rursum q̃cũq; syl. in cõson. definit, sequẽtẽ habet à cõsonãte incipientẽ. Porrò nõ est inuenire tres cõsonantes, nõ interiecta aliq̃ uocali, quarũ duæ eiusdẽ sint uirtutis. Metathesis.

Trãspositio literarũ. Fit etiã transpositio literarũ. ut cor, cor. semita, semita. ensis, ensis. paucus, cus. Et passiones incidũt huiusmodi quædam, ut longa in breuẽ soluať. ut fregit, fregit. & uicissim ut contrahatur. sacrũ, sacrum. dius, diuus. Hęc tamen alterius fuerint consyderationis.

DEFINITIO SYLLABAE.

Ad hunc autẽ modũ literæ inuicẽ se habẽtes, cõstituũt differẽter syllabã, q̃ cõprehensio est literarũ apte cõpositarum. Quemadmodũ uero literarũ complexio nihil inordinatũ habet, ita & syllabę certa ratione inter se coẽuntes, dictionẽ efficiũt, rursumq; dictiones orationẽ.

DEFINITIO ORATIONIS.

Est itaq; oratio, coordinatio dictionũ apposite coniunctarum, sententiã habens perfectam.

DEFINITIO DICTIONIS.

Cõgeminatio dictiõis atq; orõis. Dictio autem, pars minima cõstructæ orationis. Iam uero sæpenumero & simile aliquid in literis, & in dictiõibus, & in orationibus est consyderare. Geminať eñ non solum litera. ut equus, alius. sed & syllaba. ut exulto, mãsi, prouolutus. Item dictio. Mars, mars, apud Home. Et ò Cyclops, cyclops, apud Theo. Et heu, heu, Aristoph. Rursum oratio. Huic ego obuius eo, Et si igni manus est similis,

Iliad. ε. *Idyll. ια.* *Iliad. ι.* *In Pluto.*

οὐδ' ἐν μέσῳ λέξεως συνθέτου χωρίζεται. Καὶ ὅλως τὰ κατ' ἀρχὴν λέξεως πρὸ ἑτέρων τῷ εἴδει συμφώνων πεφυκότα συντάττεσθαι, ταῦτα δὴ καὶ ἐν μέσῳ λέξεως εὑρίσκοιτ' ἂν ἐν συλλήψει. οἷον ὕβρις, ὅτι καὶ βρέχω. ἀγρός, ὅτι καὶ γράφω. ὅπλον, ὅτι καὶ πλέω. ὕμνος, ὅτι καὶ μνειά. ὅσα δὲ μή, ἐν διαστάσει κεῖται ἀεί. Οὔκουν τὸ ἐσθλὸν ἐν συλλήψει, ὅτι οὐδὲ λέξις ἀπὸ τοῦ σθλ, τυγχάνει τὶς ἀρχομένη. οὐδὲ τὸ ὄγδοον, ὅτι οὐκ ἀπὸ τοῦ γδ, ἀρχή. οὐδὲ τὸ ὄγκος, ὅτι οὐκ ἀπὸ τοῦ γκ, Ἔτι τὰ αὐτὰ σύμφωνα οὐδέποτε ἐν συλλήψει. ἐκκόπτω οὖν, καὶ ἔδδεισε καὶ κάββαλε, καὶ τὰ τοιαῦτα ἐν διαστάσει. Ἔτι πᾶσα συλλαβὴ εἰς σύμφωνον λήγουσα, καὶ τὴν ἑξῆς ἔχει ἀπὸ συμφώνου ἀρχομένην. Ἔτι οὐκ ἔστιν εὑρεῖν τρία σύμφωνα ἀμέσως κείμενα, ὧν τὰ δύο ταυτοδυναμεῖ,

Μετάθεσις.

Γίνεται δὲ καὶ μετάθεσις τῶν στοιχείων. καρδία, κραδία. ἀτραπός, ἀταρπός. σφάγανον, φάσγανον. ὀλίγος, λοιγός. Καὶ πάθη συμβαίνει τοιαῦθ' ἅττα, τὸ μὲν μακρὸν εἰς βραχέα διαλύεσθαι. ἦγε, ἔαγε. καὶ ἀνάπαλιν συναιρεῖσθαι. ἱερόν, ἱρόν. δίϊος, δῖος. Ταῦτα γε μὴν ἑτέρας ἂν θεωρίας εἴη.

ΟΡΟΣ ΣΥΛΛΑΒΗΣ.

Οὕτω μὲν οὖν τὰ στοιχεῖα πρὸς ἄλληλα ἔχοντα, συντίθησι διαφόρως τὴν συλλαβήν, σύλληψιν οὖσαν στοιχείων ἐναρμόστως συντατομένων. Ὃν δὲ τρόπον ἡ τῶν στοιχείων συμπλοκὴ οὐθὲν ἄτακτον ἔχει, οὕτω καὶ αἱ συλλαβαὶ κατὰ λόγον ἀλλήλαις συνιοῦσαι, τὴν λέξιν ποιοῦσι. καὶ αὖ πάλιν αἱ λέξεις τὸν λόγον.

ΟΡΟΣ ΛΟΓΟΥ.

Ἔστι γάρ τοι ὁ λόγος, σύνταξις λέξεων ἐναρμόστως συντιθεμένων, διάνοιαν ἔχουσα αὐτοτελῆ.

ΟΡΟΣ ΛΕΞΕΩΣ.

Λέξις δὲ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου. Καὶ μέντοι, καὶ πολλαχῇ ὅμοιόν τι ἐπί τε τῶν στοιχείων, καὶ ἐπὶ τῶν λέξεων, καὶ ἐπὶ τῶν λόγων ἐστὶ θεωρεῖν. Διπλασιάζεται γὰρ οὐ μόνον στοιχεῖον. ἵππος, ἄλλος. ἀλλὰ καὶ συλλαβή. ἀλαλάζω, μεμένηκα, προπροκυλινδόμενος. καὶ λέξις. ἆρες, ἄρες, τὸ Ὁμήρου. καὶ ὦ Κύκλωψ, Κύκλωψ, τὸ Θεοκρίτου. καὶ ἰού, ἰού, Ἀριστοφάνους. καὶ λόγος, τοῦ δ' ἐγὼ ἀντίος εἶμι. καὶ εἰ πυρὶ χεῖρας

Idyll. 8. est similis, si igni manus est similis, robur autē candenti ferro. Hom. Et, boues pasce Daphni, tu cantum incipe prior, cantū incipe prior. apud Theocritū.

Pleonasmus.

Homericū. Mutuata è Plutarcho in Homerū. Odyss. γ. Iliad. σ. Iliad. υ.

Præterea queadmodū litera alicubi abūdat nō eadē. ut. spica, spica. flatus, flatus. hunc, hunc. sic etiā syllaba. reliquū, reliquū. uerus, uerus. dixisti, dixisti. Itē dictio, cū in cōpositione, tū uero in appositiōe. boū bubulcus uir. Auri uero statuēs Vlysses decē oīa talēta. Et certe ualde iā occubuerat Menœtij fortis filius. Illic em̄ oīa, hic uero ualde abūdat. Huiusmodi uero & illud. Oculis uidebā. Et expletiuę cōiunctiōes, q̄ nihil plerūq; ad sententiā cōferūt. Et oratio. cōsentaneū sane, nō uero icōsentaneū. Nō ue. incōsen. superfluū. Itē, q̄ sibi parca nascēti neuit star.ni ne, q̄n ip̄m peperit mater. Redūdat em̄, q̄n ip̄m pep. ma.

Eclipsis.

Iliad. μ. Idyll. ζ. Iambicū ex Aristoph. Nephelis. Thucydid.

Accidit quoq; & literæ defectus. terra, terra. utrinq;, utrinq;. sæpe, sæpe. Quinetiā syllabæ. fulgurat, fulgurat. amphora, phora. Apollinē, nem. Itē dictioni. ut unū augeriū optimū, pugnare pro pātria. deest em̄, est. Et illud Theocriti. Ille uero mihi uenabulū suaueridēs (ut ante) ex musis munusculū dedit esse. deest, promisit. Oratiōis aūt defect⁹ est. Et deiñ è crate deos contēnis, sed nō è terra, siquidē deū uolebas cōtemnere. Tale & illud. Si q̄dē mersissent quempiā, si non repulsi fuissent, priusq̄ ad manus ueniretur. deest, bene habebat. Simile fuerit & semel prolatā orationē bis, aut ter, aut sępius sumentē à cōi intelligere. ut ornamentū homini prudētia, sobrietas, iustitia, fortitudo. In singulis em̄ subaudit, ornamentū est.

Suppositiua positio.

Rursum ut in syllabis licet quasdā, quæ postponant & nunq̄ pręcedant, inuenire, itidē & in dictionibus. Nimirū postpositiui articuli, & appositiua pronoīa, & subiunctiua uerba eiusmodi sunt. Idē ipsum cōtingit in oratiōe, cuiusmodi hoc aggregatū. si ambulat Socrates, mouet.

Dialysis, & synæresis.

Porrò ut literæ resolutionē, & cōtractionē patiunt, sic & syllabæ

ἔοικεν, ἐν πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ. τὸ Ὁμήρου, καὶ, βουκολιάζεο Δάφνι, τὺ δ' ᾠδᾶς ἄρχεο * πρῶτος, ᾠδᾶς ἄρχεο * πρῶτος. τὸ Θεοκρίτου. Aliàs πρᾶτος

Πλεονασμός.

Ετι καθάπερ στοιχεῖον ἐστιν ὃ πλεονάζει οὐ τὸ αὐτό. στάχυς, ἄσταχυς, πνοή, πνοιή. τοῦτον, τουτονί. οὕτω καὶ συλλαβή. λοιπῶν, προλοιπῶν, ἔτυμος, ἐτήτυμος. ἔφης, ἔφησθα. Καὶ λέξις, τοῦτο μὲν ἐν συνθέσει, τοῦτο δὲ ἐν παραθέσει. βοῦν ἐπιβουκόλος ἀνήρ, χρυσοῦ δὲ στήσας ὀδυσσεὺς δέκα πάντα τάλαντα. καὶ ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός. ἐνθα μὲν γὰρ τὸ πάντα, ἔνθα δὲ τὸ μάλα πλεονάζον, τοιοῦτο δὲ καὶ τὸ, ὀφθαλμοῖσιν ἰδέσθαι. καὶ οἱ παραπληρωματικοὶ δὲ οὐδὲν πολλαχῇ εἰς ἔννοιαν συντελοῦσι. καὶ λόγος. ἔοικέ τι οὔτοι ἀεικής. τὸ γὰρ, οὔτοι ἀεικής, περίλκον. καὶ ὅσα οἱ αἶσα γινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ. πλεονάζει γὰρ, ὅτε μιν τέκε μήτηρ.

Ελλειψις.

Ετι στοιχείου μὲν ἔλλειψις. γαῖα, αἶα. ἑκατέρωθεν, ἑκάτερθεν. πολλάκις, πολλάκι. συλλαβῆς δὲ. ἀστράπτει, στράπτει. ἀμφιφορεύς, ἀμφορεύς. ἀπόλλωνα, ἀπόλλω. λέξεως δὲ, εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης. ἐνθα γὰρ τὸ, ἐστίν. καὶ τὸ Θεοκρίτου. ὁ δέ μοι τὸ λαγωβόλον ἁδὺ γελάσας, ὥς πάρος ἐκ μοισᾶν ξυνήιον ὤπασεν * ἦμεν. ἐνθα τὸ, ὑπέσχετο. λόγου δὲ ἔλλειψις. Κἄπειτ' ἀπὸ ταῤῥοῦ τοὺς θεοὺς ὑπερφρονεῖς. ἀλλ' οὐκ ἀπὸ * γῆς, εἴπερ ἐλλείπει τὸ, ἐβούλου ὑπερφρονεῖν. Τοιοῦτο καὶ τὸ. Εἰ μὲν κατίδυσάν τινα, εἰ δὲ μὴ ἀνεκρούοντο, πρὶν εἰς χεῖρας ἐλθεῖν. ἐνθα γὰρ τὸ, εὖ εἶχεν, ὅμοιον δ' ἂν εἴη καὶ τὸ, τὸν ἅπαξ ῥηθέντα λόγον δὶς, καὶ τρὶς, καὶ πολλάκις λαμβάνοντα ἀπὸ κοινοῦ ἐννοεῖν. οἷον κόσμος ἀνθρώπῳ φρόνησις, σωφροσύνη, δικαιοσύνη, ἀνδρία. πᾶσι γάρ τοι προσυπακούεται τὸ, κόσμος ἐστί. aliàs ἐλθ. aliàs τοῖ.

Ὑποτακτικὴ θέσις.

Ετι ὡς ἐπὶ τῶν συλλαβῶν ἐστιν, ἃς ὑποτασσομένας μηδέποτε προτασσομένας εὑρεῖν, οὕτω τοι, καὶ ἐπὶ τῶν λέξεων. Τὰ γὰρ ὑποτακτικὰ τῶν ἄρθρων καὶ αἱ ἐπιταγματικαὶ ἀντωνυμίαι, καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων τοιάδε. ταυτὸ δὲ τοῦτο καὶ ἐπὶ λόγου. τοιοῦτο γάρ τοι συνημμένον, ἐν περιπατεῖ Σωκράτης, κινεῖται.

Διάλυσις, καὶ συναίρεσις.

Ετι ὡς τὰ στοιχεῖα ἀνάλυσιν καὶ συναίρεσιν πάσχει, * οὕτω καὶ συλλαβή. al. χηρίζειν.

Apud Hõ. Odyss. μ. Iliad. φ. & syllabæ. Pelidæ, lidæ. Hermes,mes. Itẽ dictio. de taurum uorãs, pro deuorans. Et ẽ diuerso, dictiones duæ in unã. suspirans, & lachrymãs. pro suspirans, & lachrymas fundens. Item oratio. Cõponuntur eñ coniunctionibus iunctæ inter se orationes, dirimunť uero ubi illis carẽt.

Metathesis.

Trãspositio syll. atq; dictionum. Quinetiã syllabæ trãsponunť quemadmodũ & literę. garrula, garrula. reticulũ, culũ. Itẽ dictio, ut si quis deas uenerãdas, rãdas deas dicat. Et frigidũ sulphur, sulphur frigidũ. Nam illic uenerãdas, hic sulphur ꝑponere cõsuetum. *Iliados ultĩo* Sed & oratio, ut quod uocant ꝑposterũ. illi autẽ & aperuerunt portas, & amouerũt uectes.

De uiribus literarũ, dictionumq;.

Præterea quemadmodũ ex literis quędã uocales, q̃dã cõsonãtes. eodẽ modo & dictionũ aliquæ possunt ꝓferri per se. utpote imperatiua uerborũ, & casus uocatiui nominũ, ac ꝓnoĩm plerũq;. q̃dã aũt nõ possunt citra aliã dictionẽ proferri, ut sententiã perficiãt. ueluti ꝑpositionesq; & cõiunctiones. Tales eñ dictiones semper cõnotãt, appositæ uidelicet aliis. quo fit, ut earũ significatiões coincidãt in aliarũ (cũ qb⁹ cõiungũť) potentiã. puta hęc ꝑpositio cũ. aliud quidẽ cũ actõ cõiuncta, aliud uero cum gtõ, atq; uerbis iũcta, significat. Similiter & in cõiunctionib⁹. Quaten⁹ ergo inter se cõueniãt litera & syll. & dictio, & oratio, dictũ sit hactenus.

Proportio.

Proportio dictiõis atq; orationis. Cois aũt ꝓportio dictioni & oratiõi, nẽpe ut oratio iuxta aliquã dictionũ cõstructionẽ recte habeat & secus. dictio uero iuxta cõpositionẽ syllabarũ & literarũ. Etñ barbarismus uitiũ est in dictione, solœcismus uero uitium in oratione.

Barbarismus.

Barbarism. quibus modis cõmittatur. Et quadrifariã quidẽ fit barbarismus, quot modis & solœcis. Aut eñ defectu barbareq;s loqui dęphendiť. si quis dicat pro Demosthenis, stheni. ꝓ scripserũt, rãt. aut redũdantia. Aeschinis, inis. dormit, mit. Idẽ uero fit, cũ syll. soluiť perperã. cõcauũ, uum. Vel trãspositione. tẽpus, pus. currus, rus. Vel immutatione. phiala, ala. uitrũ, trũ. Aeneæ, neæ. Et in accẽtu. amicus, cus. mercenarius, rius. Itẽ

in tẽpore

καὶ συλλαβή. Πηλείδου, Πηλείδαο. ἑρμέας, ἑρμῆς. Καὶ λέξις. κατὰ ταῦρον ἐδηδώς, ἀντί κατεδηδώς. Κὰι τοῦ ἐναντίου λέξεις δύο εἰς μίαν. βαρυστενάχων, καὶ δακρυχέων. ἀντὶ τοῦ βαρὺ στενάχων, καὶ δάκρυ χέων. Καὶ λόγος. Συντίθενται μὲν γὰρ συνδεδεμένοι ἀλλήλοις οἱ λόγοι, διῄρηνται δὲ ἀσύνδετοι ὄντες.

Μετάθεσις.

Καὶ μὲν δὴ καὶ συλλαβαὶ μετατίθενται τοῖς στοιχείοις ὁμοίως. κελάρυζα, λακέρυζα. κρυπτοκέφαλος, κεπτοκρύφαλος. καὶ λέξις. οἷον εἴ τις θεὰς σεμνάς, τὰς σεμνὰς θεὰς λέγοι. καὶ ἄπυρον θεῖον, τὸ θεῖον ἄπυρον. ἔνθα μὲν γὰρ τὸ σεμνάς, ἔνθα δὲ τὸ θεῖον προτάττειν σύνηθες. Καὶ λόγος, οἷον τὸ καλούμενον πρόσθυστερον. οἱ δ' ἄνεσάν τε πύλας, καὶ ἀπῶσαν ὀχῆας. Ιλιάδ. ω sic, ἄφαρ δ' ὤϊξε πύλας, καὶ ἄπωσεν ὀχῆας.

Δύναμις.

Ετι ὃν τρόπον τῶν στοιχείων τὰ μὲν φωνήεντα, τὰ δὲ σύμφωνα, ταύτῃ καὶ τῶν λέξεων τὰς μὲν οἷόν τε προφέρεσθαι καθ' αὑτάς. οἷον τὰ προσακτικὰ τῶν ῥημάτων, καὶ τὰς κλητικὰς τῶν ὀνομάτων, καὶ ἀντωνυμιῶν ἔσθ' ὅτε. τὰς δὲ οὐκ ἔστιν ἄνευ ἑτέρου τοῦ προσενεχθῆναι κατὰ διάνοιαν ἐντελῆ, οἷον προθέσεις τε, καὶ συνδέσμους. Αἱ γὰρ τοιαῦται λέξεις αἰεὶ συσσημαίνουσι, προσκείμεναι δηλονότι ἑτέροις. ὅθεν δὴ αἱ σημασίαι τούτων μεταπίπτουσιν πρὸς τὴν τῶν συναπτομένων αὐτοῖς δύναμιν. δηλονότι. οἷον ἡ μετὰ, ἕτερον μὲν τῇ αἰτιατικῇ συναπτομένη, ἕτερον δὲ τῇ γενικῇ, καὶ σὺν τοῖς ῥήμασιν. ὁμοίως καὶ τοῖς συνδέσμοις. ἡ μὲν οὖν ἀλλήλοις ὅμοια στοιχεῖον, καὶ συλλαβή, καὶ λέξις, καὶ λόγος, εἰρήσθω ἐπὶ τοσοῦτον.

Ανάλογον.

Κοινὸν δ' ἀνάλογον λέξεως καὶ λόγου, τὸ τὸν μὲν λόγον παρὰ τὴν ποιὰν τῶν λέξεων σύνθεσιν ὀρθῶς ἔχειν, καὶ μή. τὴν δὲ λέξιν παρὰ τὴν τῶν συλλαβῶν, καὶ στοιχείων. ὅ, τε γὰρ βαρβαρισμὸς ἁμάρτημα περὶ λέξιν ἐστίν. ὅ, τε σολοικισμὸς ἁμάρτημα περὶ λόγον.

Βαρβαρισμός.

Καὶ τετραχῶς μὲν ὁ βαρβαρισμός. τοσαχῶς δὲ καὶ ὁ σολοικισμός. ἡ γὰρ ἐνδείᾳ βαρβαρίζων τὶς ἐλέγχεται. Δημοσθένους, Δημοσθένου. γεγράφασιν, γέγραφαν. Η πλεονασμῷ. Αἰσχίνου, Αἰσχίνους. κοιμᾶ, κοιμᾶσαι. τοιοῦτο δὲ καὶ τὸ διαιρούμενον φαύλως. κοῖλον, κόϊλον. Η μεταθέσει. κρόταφον, κότραφον. δίφρον, δρίφον. Η ἐναλλαγῇ. φιάλη, φιέλη. ὕαλον, ὕελον. Αἰνείου, Αἰνεία. Καὶ περὶ προσῳδίας. φίλος, φιλός. μισθωτός, μίσθωτας. Καὶ

Gg [illegible] περὶ

in tẽpore, & in scriptura. ut uictoria per ι, cũ oporteat scribi per α. De quibus etiã dictũ est prius abunde.

Solœcismus.

Solœcis. quibus modis fiat. Eisdẽ aũt modis fit solœcismus. Aut ẽm defectu. ueniunt campũ. deest ẽm, per. Aut abũdantia. de cœlitus. redũdat, de. *Iliad. θ.* Aut immutatione. arcu bene sciẽs. ꝓ sagittare. *Iliad. ζ.* Recẽs uero excitabat animũ. pro nuper. *Iliad. α.* Radijs similes. ꝓ assimulabant. hoc tibi prõpte dicã. ꝓ, ob hoc. *Iliad. ι.* Intro maris latũ sinũ. pro, in latũ sinũ. *Homericũ passim.* Idẽ fit, si qs ea, q̃ accidũt orationis partib. puta speciẽ, genus, numerũ, figurã, casum, uel aduerbia, uel ꝓpositiones, uel ordinẽ cõiunctionũ, uel cõiunctiones ipsas immutet. *Iliad. δ.* Speciẽ qdẽ. ut diua fœminarũ, & nigrius tãq̃ pix. *Iliad. ψ.* Genus uero. æqua fœm. existens, & nunq̃ in nostris curribus uulnerati. ꝓ uulneratæ. *Iliad. θ.* *Iliad. β.* Numerũ. Thespian, Græancꝙ. ꝓ Thespiæ. *Homericũ.* Figurã. Ast ego me soluã. ꝓ meipsum. *Iliad. π.* Casum. Nestoridæ uero, hic quidẽ uulnerauit. pro ribus. *Iliad. β.* Itẽ fulgurãs à dextra. pro fulgurantẽ. *Odyss. ι.* Et per binos utiꝙ subijt frutices, ex eadẽ radice adultos, alter quidẽ ulmi, alter oleæ. *Homericũ.* Affectũ. uideo, pro uideo. Personã. quicũꝙ dij sunt in Olympo, tibi & obediunt, & timemus oẽs, & suũ patrem laudantes. pro uestrum. Tempus. Ego uero duco Briseida. pro ducam. In aduerbijs fit etiã solœcismus ex immutatiõe. *Iliad. α.* Intro cœnã parabat. pro intus. Et cominus stans. pro ꝓpẽ. Itidẽ in ꝓpositionibus. *Iliad. ο.* In Agamẽnonem diuũ. pro ad Agamẽnonem. *Iliad. α.* Et. sub Iliũ uenerunt. pro ad Ilium. In cõiunct. Ipse quidem ego maneo, sed sociũ mitto. pro sociũ uero. Et. durum autẽ uerbum imperauit. pro durũ enim.

Metathesis.

Trãspositio orationis. Solœcismus aũt ex trãspositione, ut illud Menãdri. Filiola hęc dies dat mihi seu gloriã, siue calũniã. Quod ita recte se haberet, siue gloriã, seu calũniã. Verũ hæc oĩa licet poëtarũ figuræ sint, nobis tñ loco exẽpli sint posita, eius, q in soluta oratiõe fit, solœcismi. Cũ uero de oratiõis cõstructiõe cõgrua tractamus, de ipsa primo cõueniẽtia dicendũ est gñaliter, deiñ de singulis particulis peculiariter cõsyderãdũ, qd rectũ, & secus. Non est igitur in subiectis mem

περὶ χρόνον τε, καὶ γραφήν. νῖκος τῷ ι, δέον τῇ ει. περὶ ὧν ἄσερα καὶ εἴρηται πρότερον τὸ ὀρθόν.

Σολοικισμός.

Ομοίως δέ τοι καὶ ὁ σολοικισμός, ἢ γὰρ ἐνδείᾳ. ἔρχονται πεδίοιο. ἐνδεῖ γὰρ, ἡ διά. Η πλεονασμῷ. ἐξ οὐρανόθεν. Πλεονάζει γὰρ ἡ ἐξ. Η ἐναλλαγῇ. τόξων εὖ εἰδώς. ἀντὶ τοῦ, τοξεύειν. νέον δ' ἐσαγείρατο θυμόν. ἀντὶ τοῦ νεωστί. Αντίνεσιν ἐοικότες. ἀντί τοῦ ἐοίκασιν. τῷ τοι προφρονέως ἐρέω. ἀντὶ τοῦ δι' ὅ. εἴσω ἁλὸς εὐρέα κόλπον. ἀντὶ τοῦ εἰς εὐρέα κόλπον. Τοῦτο τὸ δὲ καὶ τὸ κατὰ παρεπόμενα τοῖς τοῦ λόγου μέρεσιν. οἷον, εἶδος, γένος, ἀριθμόν, σχῆμα, πτῶσιν, ἢ ἐπιῤῥήματα, ἢ προθέσεις, ἢ τάξιν συνδέσμων, καὶ συνδέσμους αὐτοὺς ἐναλλάσσειν. Εἶδος μὲν, διὰ γυναικῶν, καὶ μελάντερον ἠΰτε πίσσα. Γένος δὲ. αἴθη θῆλυς ἐοῦσα, καὶ οὐκ ἂν ἐφ' ἡμετέρων ὀχέων πληγέντες. ἀντί τοῦ πληγεῖσαι. Αριθμὸν δέ. Θέσπιαν, Γραῖαντε. ἀντὶ τοῦ Θεσπιαί. Σχῆμα δὲ. αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι. ἀντὶ τοῦ ἐμαυτόν. πτῶσιν δὲ, Νεστορίδαι δ' ὁ μὲν οὔτασεν. ἀντὶ τοῦ Νεστορίδων. καὶ ἀστράπτων ἐπιδέξια. ἀντί τοῦ ἀστράπτοντα. καὶ δοιοὺς δ' ἄρ' ὑπήλυθε θάμνους, ἐξ ὁμόθεν πεφυῶτας, ὁ μὲν πτελέης, ὁ δ' ἐλαίης. Διάθεσιν δὲ, ὁρῶμαι. ἀντὶ τοῦ ὁρῶ. Πρόσωπον οἱ ὅσοι θεοί εἰσ' ἐν ὀλύμπῳ σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεθα πάντες, καὶ σφέτερον πατέρ' ὑμνοῦσαι. ἀντί τοῦ ὑμέτερον. Χρόνον δὲ, ἐγὼ δ' ἄγω Βρισηΐδα. ἀντὶ τοῦ ἄξω. Περὶ ἐπιῤῥήματα δὲ σολοικισμὸς ἐξ ἐναλλαγῆς. εἴσω δόρπον ἐκόσμει. ἀντὶ τοῦ ἐντός. καὶ ἐγγύθεν ἱσταμένη. ἀντὶ τοῦ ἐγγύς. Περὶ δὲ προθέσεις. εἰς Αγαμένονα δῖον. ἀντὶ τοῦ πρὸς Αγαμένονα. καὶ ὑπὸ ἴλιον ἦλθον. ἀντὶ τοῦ ἐπὶ ἴλιον. Περὶ δὲ συνδέσμους. αὐτὸς μὲν ἐγὼ μενέω, ἀλλ' ἕταρον πέμπω. ἀντὶ τοῦ ἑταῖρον δὲ. καὶ. κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν. ἀντὶ τοῦ κρατερὸν γάρ.

Μετάθεσις.

Σολοικισμὸς δ' ἐκ μεταθέσεως, ὡς τὸ Μενάνδρου. θυγάτριον ἡ νῦν ἡμέρα δίδωσί μοι, ἢ δόξαν, ἤτοι διαβολήν. τὸ γάρ τοι ὀρθῶς ἔχον, ἤτοι δόξαν, ἤτοι διαβολήν. ταῦτα γε μὴν πάντα ἐν καὶ τοῖς ποιηταῖς σχήμαθ' ἀπλᾶ ἐστίν, ἡμῖν μέν τοι ὡς ὑποδείγματα κείσθω, τοῦ περὶ τὸν πεζὸν λόγον σολοικισμοῦ. Επεὶ δὲ περὶ λόγου συντάξεως καταλλήλου θεωροῦμεν, περὶ αὐτοῦ πρότερον τοῦ καταλλήλου ῥητέον κοινῇ, εἶτα περὶ ἕκαστα τῶν μερῶν ἰδίᾳ θεωρητέον τὸ ὀρθόν τε. καὶ μή. Εστι μὲν οὖν οὐκ ἐν τοῖς ὑποκει-

ctis membris, ut incōcinna oratio fit, aut nō, sed in conte xtu dictionũ, qbus accidit applicari ad id, quod oportet. Si igitur de fœmina dicat aliquis, hæc me uerberauerũt, solœcissat. quia indebite cohæreãt dictiones, q̃uis uere dicat in gñe. sed si ita, hic me uerberauit, nihil peccat. habet enĩ quod ad congruitatẽ requirit, oratio. Vnde dictiones ipsæ distributæ in situs proprios, quomodocũq; incidant in nõ conuenientẽ ordinem, ostendũt ex mutua inter eas sequelas. Itaq; ex orationis partibus quædã in numeros, & gña, & casus deducunt. qdã in personas, & numeros. qdam nihil suscipiũt huiusmodi, sed una tantũ figura efferunt. Partes hæ sanè oẽs transsumptę ex pprijs formis ad debitã congruentiã numeri, aut personæ, aut gñis, in orationis cõstructione disponunt, ut in hoc cõueniant, ad qd referri unaquæq; debet. uelut (si ita cõtingat) pluralis ad pluralem, secundũ eiusdẽ personæ incidentiã. scribimus nos, discunt hoĩes. Siquidem in transitione personæ, nõ omnino requiretur idẽ numerus. Licet enim dicere; uerberant hominem, & uerberant hominem.

Transpositio in casu.

Eadẽ ratio in his quoq;, q̃ secundũ genus, uel casum, uel personã sumunt. Nã quod in transitione est, indifferenter ad oĩa se habet. Nos ipse audit, nos ipsi audiũt. Cęterũ si conueniãt in eodẽ casu, recidũt in eandẽ personã. ut nos ipsos audiũt. modo non intercidat coiunctio, quæ personã distinguat. uos, & ipsos audiunt.

Transpositio in genere.

Similiter aũt fieri & in generibus solet. hi uiri, hos uiros. Rursum enim in trãsitione personæ, nihil refert, neq; in gñe, neq; in numero. ut hos mulier iniuria affecit.

In persona.

Item & in persona. Ille, cur. pater sit, curabit filiũ, quin & te, & me. Si itaque nihil incidat dictioni, quod discrimen possit manifeste facere, integrum erit, connexionẽ fieri ad diuersa genere, uel casu, uel numero, uel persona, uel huiusmodi aliquo. Irreprehensibilia enim, quæ sic transfigurantur, fiunt. pulchre scribo, scribis, scripsi. Liquet enĩ

μένοις τὸ ἀκατάλληλον, καὶ μὴ, ἀλλ' ἐν τῇ συντάξει τῶν λέξεων, ὡς παρέπεται τὸ μεταποιεῖσθαι εἰς τὸ δέον. Εἰ οὖν ὑποθέσεως ἕνεκα λέγοι τις, αὐτοὶ μὲ ἔτυψαν, σολοικίζει. διὰ τὸ ἀκατάλληλον τῶν λέξεων, κἂν ἀληθεύει τῷ γένει. εἰ μέν τοι οὗτός με ἔτυψεν, οὐδὲν ἁμαρτάνει. ἔχει γὰρ τὸ τοῦ καταλλήλου δέον ὁ λόγος. ὥστε αἱ λέξεις ἀναμεμερισμέναι εἰς θέσεις ἰδίας, τὰ ὁπωσοῦν παρεμπίπτοντα εἰς οὐκ ἐπιβάλλουσαν θέσιν ἐλέγχουσιν, διὰ τῆς παρ' ἑαυτῶν ἀκολουθίας. Τῶν τοίνυν τοῦ λόγου μερῶν, ἃ μὲν εἰς ἀριθμοὺς, καὶ γένη, καὶ πτώσεις μετασχηματιζόμενα. ἃ δὲ εἰς πρόσωπα, καὶ ἀριθμούς. ἃ δὲ μηδὲν ἐπιδεχόμενα τοιοῦτό τι ἀλλὰ καθ' ἕνα μόνον σχηματισμὸν ἐκφερόμενα. ταῦτα δὴ μεταληφθέντα ἐξ ἰδίων μετασχηματισμῶν εἰς τὰς δεούσας ἀκολουθίας ἀριθμῶν, ἢ προσώπων, ἢ γενῶν τῇ τοῦ λόγου συντάξει, ἀναμεμέρισται ἐς ἐπιπλοκὴν τοῦ πρὸς ὃ φέρεσθαι ἔκαστον δεῖ. οἷον (εἰ οὕτω τύχη) πληθυντικὸν, πρὸς πληθυντικὸν, κατὰ τὴν τοῦ αὐτοῦ προσώπου παρέμπτωσιν. γράφομεν ἡμεῖς, μανθάνουσιν ἄνθρωποι. τὸ γάρ τοι ἐν μεταβάσει τοῦ προσώπου οὐ πάντως ἀπαιτήσει τὸν αὐτὸν ἀριθμόν. ἔστι γὰρ φάναι, καὶ τύπτουσι τὸν ἄνθρωπον, καὶ τύπτουσι τοὺς ἀνθρώπους.

Κατὰ πτῶσιν.

Ο αὐτὸς δὲ λόγος κἀπὶ τῶν κατὰ γένος, ἢ πτῶσιν, ἢ πρόσωπον λαμβανομένων. ἔτι γὰρ καὶ τὸ ἐν μεταβάσει ἀδιαφορεῖ. ἡμῶν αὐτὸς ἀκροᾶται, ἡμῶν αὐτοὶ ἀκροῶνται. καὶ οὖν εἰ συνέλθῃ κατὰ τὴν αὐτὴν πτῶσιν, ὑποπεσεῖται εἰς τὸ αὐτὸ πρόσωπον. ἡμῶν αὐτῶν ἀκροῶνται. εἰ μὴ παρέμπτωσις συνδεσμικὴ τὸ πρόσωπον διαστήσει. ἡμῶν καὶ αὐτῶν ἀκροῶνται.

Κατὰ γένος.

Ωσαύτως δὲ κἀπὶ τῶν γενῶν. οὗτοι οἱ ἄνδρες, τούτους τοὺς ἄνδρας. πάλιν γὰρ τὸ ἐν μεταβάσει τοῦ προσώπου ἀδιαφορήσει καὶ κατὰ γένος, καὶ κατὰ ἀριθμόν. τούτους γυνὴ ὕβρισεν.

Κατὰ πρόσωπον.

Καὶ ἔτι προσώπου. ἐκεῖνος πατὴρ ὢν, * ἐπιμελήσεται τοῦ παιδὸς, ἀλλὰ δὴ καὶ σοῦ, καὶ ἐμοῦ. Εἴπερ οὖν μὴ ἐπισυμβαίνει τῇ λέξει, τὸ τὴν διάκρισιν δυναμένον φανερῶς ποιεῖσθαι, ἀδιαφορήσει * τὸ ἐπιπλέκεσθαι διαφόροις τῷ γένει, ἢ τῇ πτώσει, ἢ τῷ ἀριθμῷ, ἢ τῷ προσώπῳ, ἢ τοιούτῳ τινί. ἀνέλεγκτα γὰρ οὕτω καὶ τοῦ μετασχηματισμοῦ γίνεται. καλῶς γράφω, γράφεις, ἔγραψα. Δῆ

al. ἐπιμεληθήσεται.

Aliâs τοῦτο.

quet eṁ, quod cōgrua eſt undiq; cōſtructio. Nam cum aduerbialis cōcurſus nō ſit ſuſceptiuus numeri, aut perſonæ, aut caſus, aut tēporis q̄ recipit uerbū, nihil obſtat, quo minus cōnectanť, nēpe qđ nulla arguitur ſimilitudo ſpeciei. Nō tñ hoc cōtingit in pulcher. nā perſonæ eſt tertiæ, & numeri ſingularis. unde cū ſingulari ſcribit, cōſtruitur. pulcher ſcribit. Rurſum quia pulcher nō incidentiā tēporis ſignificat, citra diſcrimē, tēporib. accōmodatur diuerſis. pulcher ſcribit, ſcripſit, ſcribet.

In aduerbio.

Prǽterea aduerbia, q̄ in diuerſa didicūť tēpora, cū perſonis quidē diuerſis, & numeris ordinātur, cū tēporib. uero nō. deſcēdi heri, iſti, dit. Deſcēdit aūt, uel deſcendā nullo mō. Similiter & q̄ ſignificationē accipiūt modi. ut utinā, age. Imperatiui eṁ ſignificatio nō cōiūgiť optatiuo. Reliqua aūt ſignificatiōis huiuſmodi expertia, liberā hñt circa omneis modos conſtructionē.

In coniunctione.

Cōiunctiones uero, ſi in nihil p̄dictorū ſeceň, citra diſcrimē cōnectunť ad diuerſa uel gn̄a, uel caſus, uel perſonas. Quod ſi in his eſſet qdā particularis differētia, nō ea, q̄ exigit cōſtructio, ſeruarētur. puta ἄν, q̄ nondū facta auferens, uult traducere ea ad potentiā. Vñ ſanè & potētialis dicit, & ob hoc p̄teritis oībus cōiungiť, p̄terq̄ perfectis. Si igitur quis diceret, ſcribam ἄν, incongrue cōponeret.

ἄν cōiunct. potētialis.

In pronomine.

Cǽterū inter p̄noīa, mihi, in tertia perſona nō ponitur, nēpe qđ reijcit à cognato, ſibi. Manifeſtū itē qđ neq; οἱ in prima ob eandē cauſam. Verū ipſe cū tertiæ ſit perſonæ, & primæ, & ſecūdæ cōiungiť, cū nulla ibi cōſequēs perſona in cognatiōe exiſtat, q̄ poſſit eius abſurditas coargui. Ipſe igiť ego, ipſe tu.

αὐτός pronomen.

Seipſos.

Nullū eṁ oīno cōtingit uitiū in his, q̄ in cōſequētia deſinita nō ſunt. Hæc tñ ſi fiant ex aliquo apta, nō perperā cōferētur. Seipſos igiť in prima nō indecore erit, qđ à noſipſos nō refellať. Cæterū ſeipſum fortaſſe. Licet enim & meipſum cōiungi. Neq; tñ tu, uel ego in diuerſis gn̄ibus

ἑαυτούς quib. perſonis iūgatur.

inepte,

λον γὰρ ὅτι κατάλληλος πάντῃ ἡ σύνταξις. ἡ γὰρ τοῦ ἐπιῤῥήματος σύνοδος μὴ οὖσα δεκτικὴ ἀριθμῶν, ἢ προσώπων, ἢ πτώσεων, ἢ χρόνων, ὧν παραδέχεται τὸ ῥῆμα, ἀκώλυτον τὴν ἐπιπλοκὴν ἴσχει, καὶ ἥκιστα ἔκτου ἐλεγχομένην ὁμοειδοῦς. Οὐκ ἔτι δὲ ταυτὸ συμβαίνει, καὶ ἐπὶ τοῦ καλός. προσώπου γὰρ τρίτου ἀριθμοῦ ἑνικοῦ τουτί. ὅθεν καὶ πρὸς ἑνικὸν τὸ γράφει ἡ σύνταξις. καλὸς γράφει. Καὶ αὖ πάλιν ἐπὶ τὸ καλὸς οὐ παρέμπτωσιν χρόνου σημαίνει ἀδιαφορεῖ χρόνοις συνταττόμενον διαφόροις. καλὸς γράφει, ἔγραψε, γράψει.

Κατὰ ἐπίῤῥημα.

Ετι τῶν ἐπιῤῥημάτων τὰ εἰς διαφόρους ἀναμεριζόμενα χρόνους, προσώποις μὲν διαφόροις καὶ ἀριθμοῖς συντάσσεται. χρόνοις δ' οὔ. κατέβην χθές, κατέβης, κατέβη. καταβαίνει δὲ, ἢ καταβήσομαι οὔ. Ὡσαύτως δὲ καὶ ὅσα σημαινόμενον ἐπιδέχεται ἐγκλίσεως. οἷον εἴθε, ἄγε. ἡ γὰρ προστακτικὴ ἀνεπίπλοκος τῇ εὐκτικῇ. Τἄλλα δὲ σημασίας ἀμοιροῦντα τοιαύτης ἀκώλυτον ἔχει ἐπὶ πασῶν τῶν ἐγκλίσεων τὴν σύνταξιν.

Κατὰ σύνδεσμον.

Καὶ οἱ σύνδεσμοι δὲ εἰς οὐδὲν τῶν εἰρημένων τεμνόμενοι, ἀδιαφόρως τὰς συνδέσεις ποιοῦνται πρὸς διάφορα γένη, ἢ πτώσεις, ἢ πρόσωπα. εἴγε μὴν καὶ ἐπ' αὐτῶν γένηταί τις ἐν μέρει διαφορὰ, οὐκ ἂν τὰ περὶ τὴν σύνταξιν σώζοιτο. οἷον ὁ ἄν. ὅτι τὰ μὴ γεγονότα ἀναπερῶν, θέλει παριστᾶν αὐτὰ εἰς τὸ δύνασθαι. ὅθεν ἄρα καὶ δυνητικὸς εἴρηται, διὰ τοῦτο παρῳχημένοις συντάσσεται. πλὴν τοῦ παρακειμένου. Εἰ οὖν τις λέγοι, γράψω ἄν, ἀκαταλλήλως συντάττει.

Κατὰ ἀντωνυμίαν.

Ετι ἐπὶ τῶν ἀντωνυμιῶν τὸ ἐμοὶ ἐπὶ τρίτου οὐ τίθεται, ὡς διελεγχόμενον ἂν ὑπὸ τοῦ συζύγου, τοῦ οἱ. Δῆλον δ' ὅτι οὐδὲ τὸ οἱ ἐπὶ πρώτου διὰ τὸν αὐτὸν λόγον. ἥγε μὴν αὐτὸς τρίτου οὖσα, καὶ πρώτῳ, καὶ δευτέρῳ συντάττεται, ὅτι οὐδὲν ἀκόλουθον πρόσωπον κατὰ συζυγίαν ὑπάρχει, ὃ ἂν τὸ ἀλλότριον συνελέγξειεν. Αὐτὸς οὖν ἐγώ, αὐτὸς σύ.

Εαυτούς.

Ολως γὰρ οὐθὲν συμβαίνει ἁμάρτημα, περὶ τὰ ἐν ἀκολουθήσει ὡρισμένῃ μὴ ὄντα. Γινόμενα γε μὴν ἔκτου ἀκόλουθα, οὐκ ἔτι παρὰ τὸ δέον συνοισθήσεται. Οὐκοῦν τὸ ἑαυτοὺς ἐπὶ πρώτου ἐν κακίᾳ. οὐ γὰρ ὑπὸ τοῦ ἐμαυτοὺς διελέγξεται. Τὸ ἑαυτὸν δὲ ἴσως. ἔστι γὰρ καὶ τὸ ἐμαυτόν. Οὔτε μὴν τὸ σὺ, ἢ ἐγὼ ἐπὶ διαφόρων γενῶν φαύλως.

inepte, qñdo q̄dẽ illis indiscretũ gen⁹. Itaq; tu ipse, tu ipsa. ego ipse, ego ipsa.

In uerbis transpositio.

Eadem uero est & de uerbis ratio. Proprie itaq; modi in personas, & numeros partiti, absurditatem commonstrant, si qua in numeris, personisue cõmittitur. Infinitiuus autẽ horũ expers, ad omneis personas, omneisq; numeros se extendit. scribere me, uos. te, nos. Quia uero tẽpus, affectumq; habet, si quid in his immutetur, incongruitatem arguit.

In participijs.

Manifestũ idẽ hoc & in participijs, quib⁹ cõmunicatio gñis est, & casus, & numeri, citra tamẽ personæ discretionẽ, affectusq; animalis uolũtatis. Quapropter circa ea, q̃ absunt nullũ erratũ cõtingit. scribẽs surrexi, surrexisti, surrexit, surgito, surgerem.

al. personæ. Verba. *.

Præterea dicebã, & similia singularis numeri, quia coincidũt cũ tertia persona plurali, nõ incõmode cõstruunt cũ plurali. dicebãt illi. Excipiant Dorica. In his eñ retractus acutus tonus, distinguit cũ singulari coincidentiã.

al. in genere. Nomina. *.

Pro cõfesso aũt est, & q̃ coincidunt uel in gñe, uel quomodocũq;, distingui ab incõgruo. ut sapiẽs, uel deus. Et in summa, q̃ triũ sunt ge. q̃uis deus manifestũ est etiã fœmin. iũgi. sed inclytus, & rusticus nũq̃, uñ & hic alteratio,

Iliad. β. inclytus hippodamia.

al. in tẽpore. Participia. *.

In cõfesso quoq; est, qđ scribẽs cõstruat cũ imperfecto, q̃tenus coincidentiã imperfecti recipit. scribẽs gaudebã.

Infinitiuum.

Rursum uero infinitiuũ scribere si assumat cum p̃senti & imperfecto, congrue absoluit orationẽ, in cõstructione huiusmodi aduerbiorũ. cõtigit heri scribere Socratẽ, contingit hodie scribere Socratem.

Genus uerbi.

Certũ est etiã & de gñe. Nã in his q̃ media appellãtur uerba,

φαύλως. οὐ γάρ τοι διακριτικὸν γένους. σὺ οὖν αὐτός, σὺ αὐτή. ἐγὼ αὐτός, ἐγὼ αὐτή.

Ῥήματα.

Ὁ αὐτὸς δὲ κἀπὶ τῶν ῥημάτων λόγος. αἱ γοῦν κυρίως ἐγκλίσεις ἐς πρόσωπα καὶ ἀριθμοὺς μερισθεῖσαι, τὸ ἀκατάλληλον συνελέγχουσι δὴ ἀριθμῶν καὶ προσώπων. ἡ δ᾽ ἀπαρέμφατος ἀμοιρήσασα τούτων, ἐπὶ πάντα πρόσωπα, καὶ ἐπὶ πάντας ἀριθμοὺς ἐπιβάλλει. γράφειν ἐμέ, ὑμᾶς, σέ, ἡμᾶς. Χρόνου γε μὴν καὶ διαθέσεως οὐκ ἀμοιροῦσα, παρὰ τὴν τούτων ἐναλλαγὴν τὸ ἀκατάλληλον ἐμφανίζει. ali. ἐπιτρέχει

Μετοχαί.

Δῆλον ταυτὸ τοῦτο καὶ ἐκ τῶν μετοχῶν, αἷς μετουσία γένους, καὶ πτώσεως καὶ ἀριθμοῦ. οὐ μὴν δὲ καὶ προσωπικῆς διακρίσεως καὶ ψυχικοῦ τοῦ βουλήματος. δι᾽ ὃ δὴ καὶ περὶ τὰ μὴ προσόντα ταῦτα οὐδὲν φαῦλον συμβαίνει. γράψας ἀνέστην, ἀνέστης, ἀνέστη, ἀνάστηθι, ἀναστῆναι.

Ῥήματα.*.

Ἔτι τὸ ἔλεγον καὶ τὰ ὅμοια ἑνικὰ ὄντα διὰ τὸ συμπίπτειν τῷ τρίτῳ πληθυντικῷ καταλλήλως συντάσσεται τῷ πληθυντικῷ. ἔλεγον ἐκεῖνοι. ὑπεξαιρείσθω τὰ Δωρικά. ἡ γὰρ ἐν αὐτοῖς καταβιβαζομένη ὀξεῖα ἀφίστησι τὴν πρὸς τὸ ἑνικὸν σύμπτωσιν. al. πρόσωπα.

Ὀνόματα.*.

Ὁμόλογον δὲ καὶ τὸ τὰ συμπίπτοντα ἤτοι κατὰ γένος, ἢ κατὰ θοτιοῦν ἀφίστασθαι τοῦ ἀκαταλλήλου. οἷον σοφός, ἢ θεός. καὶ ὅλως τὰ τριγενῆ. τὸ μὲν θεὸς σαφὲς κἂν πρὸς θηλυκὸν τάσσηται. τὸ δὲ κλυτός, καὶ ἄγριος οὔ. ὅθεν ἐναλλαγὴ τὸ, κλυτὸς ἱπποδάμεια. al. γένος.

Μετοχή.*.

Ὁμόλογον δὲ καὶ τὸ, τὸ γράφων συντετάχθαι παρατατικῷ, ἢ δηλονότι συνέμπτωσιν παρατατικοῦ ἐπιδέχεται. γράφων ἔχαιρον. al. χρόνος.

Ἀπαρέμφατον.

Καὶ τὸ ἀπαρέμφατον δὲ γράφειν, μεταληφθὲν ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ, κατάλληλον ἀποτελεῖ λόγον ἐν συντάξει τῶν τοιούτων ἐπιρρημάτων. συνέβη χθὲς γράφειν Σωκράτη. συμβαίνει σήμερον γράφειν Σωκράτη.

Διάθεσις.

Δῆλον δ᾽ ἔτι καὶ ἐπὶ διαθέσεως. τὰ γὰρ καλούμενα μεσότητος

uerba, coincidentiamq̧ recipiunt actionis, & passionis nihil quantū ad gn̄a attinet, peccari potest.

Persona.

Itē in cōcursu personæ clarū & hoc. nā uinco conuenit quidē in prima indicatiui, & tertia opta. ut uidere est apd' Alcmanē. uincā uero p̄stantior. nō itidē in secūda indicatiui, quaten⁹ secūda est uincis. Proiñ congruū, & nō in cōstructione sic ferè dep̄hendendū, & itē qd' transitiuū, & qd' oīno ad aliquā aliā partē refert. Nā ut diuersæ harū sunt uires, sic & uariæ constructiones, uelut in his secundum unumquodq̧ patebit.

Quid recte coordinare.

Quāobrē fuerit recte coordinare, non inepte cōnectere inuicē orōis parteis, p̄ut ratio recta dictat, atq̧ cōtrariū solœcissare. Peccatū eñ circa cōstructionēq̧ & orationē, solœcism⁹ est. Rectitudo uero loquēdi penes eruditiores quod plerūq̧ sic loquant. Ex his igitur, & circa hæc grammatices speculatio, methodusq̧ uersantur.

DE NOMINE.

Nominis species.



Aeterū inter parteis oratiōis primas sortiunt & nomē, & uerbū. Quādoqdē sine aliis fieri poterit oratio perfecta, at sine his nō poterit. Nihil tñ intererit, nomē sumas, aut p̄nomen.

Definitio nominis.

Est aūt nomē pars orōis casib⁹ inflexa, ac significās sine tp̄e. Species uero hui⁹ q̄dā scd'm uocē, q̄dā scd'm significationē. Secūdū uocē, primitiua & deriuatiua. Scd'm significatū uero, p̄pria, appellatiua, adiectiua, & q̄ sunt dictæ pri⁹. Diuisa eñ sunt noīa deriuatiuæ speciei, in patronymicū, possessiuū, cōparatiuū, superlatiuū, diminutiuū, denoīatiuū, & uerbale.

De proprio nomine.

Est aūt propriū, quod primā & particularē substantiā significat. ut Socrates, Plato.

De appellatiuo nomine.

Appellatiuū uero, quod secundā & uniuersalem. ut homo, equus.

De adie-

ῥήματα, συνέμπλωσιν ἀναδεχόμενα ἐνεργείας, καὶ πάθους οὐδὲν παρὰ τὰς διαθέσεις ἁμαρτάνεται.

Πρόσωπον.

Καὶ ἐπὶ συμπλώσεως δὲ προσώπου δῆλον ταυτό. τὸ γὰρ νικῶ, κατάλληλον μὲν ἐπὶ πρώτου ὁριστικοῦ καὶ τρίτου εὐκτικοῦ. ὡς ἔχει τὸ παρ' Ἀλκμᾶνι. νικῷ δὲ ὁ κάῤῥων. ἀκατάλληλον δὲ ἐπὶ δευτέρου ὁριστικοῦ, ἢ δεύτερον τὸ νικᾷς. Τὸ μὲν οὖν κατάλληλόν τε, καὶ μὴ, τῆς συντάσεως οὕτωπως ληπτέον, καὶ ἔτι τὸ μεταβατικὸν, καὶ ὅλως τὸ πρὸς ἕτερον τῶν μερῶν. Πρὸς γὰρ τὰς διαφόρους τούτων δυνάμεις, διάφορα καὶ τὰ τῆς συντάξεως, ὡς ἐν τοῖς καθ' ἕκαστα ἔσται δῆλον.

Τί τὸ εὖ συντάττειν.

Δι' ὃ καὶ εἴη ἂν τὸ εὖ συντάττειν, καταλλήλως ἐπιπλέκειν πρὸς ἄλληλα τὰ τοῦ λόγου μέρη, ὡς ὁ λόγος ὁ ὀρθὸς λέγει, καὶ τοὐναντίον τὸ σολοικίζειν. ἁμαρτία γὰρ περὶ σύνταξίν τε, καὶ φράσιν ὁ σολοικισμός. Τὸ δὲ ὀρθὸν ἐν τοῖς παρ' ἐνδοξοτέροις τῶν λογίων ὡς ἐπιτοπολὺ λεγομένοις. ἐκ τούτων γὰρ καὶ περὶ τούτων ἡ γραμματικὴ θεωρία καὶ μέθοδος.

ΠΕΡΙ ΟΝΟΜΑΤΩΣ.



Ων δὲ τοῦ λόγου μερῶν τὰ πρωτεῖα εἴληχε τοὔνομα καὶ ῥῆμα. Τῶν μὲν γὰρ ἄλλων χωρὶς γίγνοιτ' ἂν λόγος τέλειος. ἄνευ δὲ τουτωνὶ οὐκ ἂν γίγνοιτο. Διαφερέτω δὲ μηθὲν ὄνομα λαβεῖν ἢ ἀντωνυμίαν.

Ὅρος ὀνόματος.

Ἔστι δὲ τοὔνομα μέρος λόγου πτωτικὸν, σημαντικὸν ἄνευ χρόνου. Εἴδη δὲ τούτου τὰ μὲν κατὰ φωνὴν, τὰ δὲ κατὰ σημασίαν. Κατὰ μὲν φωνὴν. πρωτότυπον, καὶ παράγωγον. Κατὰ δὲ σημασίαν. κύριον, προσηγορικὸν, ἐπίθετον. καὶ ὅσα εἴρηται πρότερον. Διήρηται δὲ καὶ τὰ τοῦ παραγώγου εἰς πατρωνυμικὸν, κτητικὸν, συγκριτικὸν, ὑπερθετικὸν, ὑποκοριστικὸν, παρώνυμον, καὶ ῥηματικόν.

Κύριον.

Ἔστι δὲ κύριον τὸ τῆς πρώτης καὶ κατὰ μέρος οὐσίας σημαντικόν. οἷον Σωκράτης, Πλάτων.

Προσηγορικόν.

Προσηγορικὸν δὲ τὸ τῆς δευτέρας, καὶ καθόλου οὐσίας. οἷον ἄνθρωπος, ἵππος.

De adiectiuo.

Porrò adiectiuũ, quod de proprijs & appellatiuis dicitur. uirilis, uelox.

Constructio adiectiui.

Quippiã uero huiusmodi exiens adiectiuũ, nõ solũ in simili gñe, in similiq́; & casu, & numero, ꝓprijs, & appellatiuis adhibet, uerũ etiã oblique cõstruit cũ noĩm diuersorũ actõ. Nã datiui usus nõ admodũ exquisitus. Sanus igitur corpus, & albus cæsariẽ, & flauus oculos.

Cum articulis.

Quib. articulis iũgãtur

Atq; alia cũ articulo, alia sine articulo. Cũ articulo aũt qñ uerbi substãtiui participiũ abest, & tñ subintelligit. ut bonus Socrates philosophat. Integrũ enim esset. Socrates ens bonus. Vnde si propriũ nomẽ ꝑponatur, non ita sine articulo adiectiuũ pronunciandũ est. Socrates enim bonus dicimus, utriq; nominũ articulũ coaptãtes. Nẽpe ita fieri necesse, ꝑcedente proprio, uel appellatiuo. Sine articulo uero proferimus, ubi substantiuũ u erbum solum adest, uel expressum, uel intellectũ. Socrates uir bonus. Aristot. sapiens. Tametsi ista in articulatũ genitiuũ pluralem commutare, nihil prohiberet. Socrates bonorum erat, Aristoteles sapientum.

Aequiuoca.

Itaq; propria & appellatiua in eodẽ & gñe, & casu, & numero sua adiectiua habẽt, retinẽtq́;. Cõiungant aũt his homonyma, quorũ nomẽ quidẽ cõe, uerũ in nomine ipso ratio substãtiæ est diuersa.

Vniuoca.

Itẽ synonyma, quorum nomẽ & ratio cõe.

Gentilicia.

Præterea q̃ gentẽ significãt, & cõtentiua, nẽpe ea, q̃ simul significãt cõtinens, & cõtentiuũ. ut lauretũ, cubile.

Contẽtiua. Fictitia.

Præterea q̃ ad imitationẽ sonorũ ac uocum qualitates sunt effícta. Ad hæc q̃ genus, aut speciẽ significant. Itẽ absoluta, ut q̃ per se ipsa intelligunt. deus, sermo De reliqs aũt (iuxta significationẽ) spẽbus, quasłẽ cõstructionẽ habeãt, dicamus.

Ad aliquid.

Quæ igit ad aliud semper referunt, atq; ob talẽ habitudinẽ nominant ad aliqd, quatenus per excellentiã, subiectionẽq́; sumũtur, à recto ad genitiuũ eorũ, ad quę habitus redditur, construuntur. queadmodũ pater, filij. seruus, domini. duplũ, dimidij.

Consimiliter

Ἐπίθετον.

Ἐπίθετον δέ τὸ κατὰ κυρίων, ἢ προσηγορικῶν λεγόμενον. οἷον ἀνδρεῖος, ταχύς.

Σύνταξις ἐπιθέτου.

Τοιοῦτο δ᾽ ὂν τὸ ἐπίθετον, οὐ μόνον ὁμογενῶς τε, καὶ ὁμοπτώτως, καὶ ὁμοαρίθμως τοῖς κυρίοις καὶ προσηγορικοῖς πρόσκειται. ἀλλὰ καὶ πλαγίως συντάσσεται ὀνομάτων ἑτέρων αἰτιατικῇ. ἡ γὰρ τῆς δοτικῆς χρῆσις οὐ πάνυ τοι ἀκριβής. ὑγιὴς οὖν τὸ σῶμα, καὶ λευκὸς τὴν τρίχα, καὶ πυῤῥὸς τοὺς ὀφθαλμούς.

Ἐνάρθρως.

Καὶ τὰ μὲν ἐνάρθρως, τὰ δὲ ἀνάρθρως. Ἐνάρθρως μὲν, ἔνθα ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ ἀποῦσα, ὅμως ἐπινοεῖται. οἷον ὁ ἀγαθὸς Σωκράτης φιλοσοφεῖ. Τὸ γὰρ ἐντελὲς ἦν. ὁ Σωκράτης ὁ ὢν ἀγαθός. ὥστε εἰ καὶ τὸ κύριόν γε προτάττοιτο. οὐδ᾽ οὕτως ἄνευ ἄρθρου τὸ ἐπίθετον λέγοιτ᾽ ἄν. ὁ Σωκράτης γάρ τοι ὁ ἀγαθὸς φαμὲν, ἑκατέρῳ τῶν ὀνομάτων ἄρθρον συνάπτοντες. Οὕτω γὰρ συμβαίνειν ἀνάγκη προηγουμένου, τοῦ κυρίου, ἢ προσηγορικοῦ. Ἀνάρθρως δέ τοι προφέρεται, ἔνθα τὸ ὑπαρκτικὸν αὐτὸ ῥῆμα μόνον, ἢ λεγόμενον, ἢ νοούμενον. Σωκράτης ἀνὴρ ἀγαθός. Ἀριστοτέλης σοφός. Ταῦτα γε μὴν καὶ εἰς ἔναρθον γενικὴν πληθυντικοῦ μεταβάλλειν, οὐθὲν ἂν κωλύοι. Σωκράτης τῶν ἀγαθῶν ἦν, Ἀριστοτέλης τῶν σοφῶν.

Τὰ μὲν οὖν κύριά τε, καὶ προσηγορικὰ ὁμοιογενῶς τε, καὶ ὁμοιοπτώτως, καὶ ὁμοιαρίθμως σφίσι τὰ ἐπίθετα ἴσχει. Συμπαρειλήφθω δὲ τούτοις καὶ τὰ ὁμώνυμα, ὧν ὄνομα μὲν κοινὸν, ὁ δὲ κατὰ τοὔνομα λόγος τοῖς οὐσίας διάφορος. Καὶ τὰ συνώνυμα ὧν τό, τε ὄνομα καὶ ὁ λόγος κοινόν. Καὶ τὰ ἔθνους δηλωτικὰ, καὶ τὰ περιεκτικά, οἷον τὰ ἅμα δηλοῦντα τὸ περιέχον, καὶ τὸ περιεχόμενον. οἷον δαφνὼν, κοιτών. Καὶ τὰ μιμητικῶς, πρὸς τὰς τῶν ἤχων ποιότητας πεποιημένα. Καὶ πρὸς τούτοις τὰ γένους, ἢ εἴδους σημαντικά. Καὶ τὰ ἀπολελυμένα. οἷον τὰ καθ᾽ ἑαυτὰ νοούμενα. θεὸς, λόγος. Περὶ δὲ τῶν λοιπῶν, (κατὰ τὴν σημασίαν) εἰδῶν ποίαν τινα σύνταξιν ἔχει, λέγωμεν.

Τὰ μὲν οὖν πρὸς ἕτερον ἀεὶ θεωρούμενα, καὶ διὰ τὴν τοιαύτην σχέσιν ὀνομαζόμενα πρός τι, καθ᾽ ὑπεροχὴν μὲν ὄντα, ἢ καθ᾽ ὑποταγὴν, ἀπὸ εὐθείας εἰς γενικὴν, τῶν πρὸς ἃ ἡ σχέσις ἀποδίδοται. οἷον πατήρ, υἱοῦ. δοῦλος, δεσπότου. διπλάσιον, ὑποδιπλασίου.

Differentialia. *Aequalitater* *Cōposita à σὺν, & ὁμοιοῦ.*

Consimiliter uero quæ secundū differentiā dicunt. ut aliud, alterū, diuersum. Vocētur aūt differentialia, q̄ ex æqualitate sunt, à nominatiuo in datiuū. ut amicus alicui, & ęqualis, & uicinus, & similis, & idē, & cōtrarius. Itē quęcunq; à simul, uel con cōponuntur. ut cōsubstantialis, cōnaturalis, suffragator, confessor. Nam cum gtō hæc construere, possessionis fuerit, nō relationis ueræ. Eodē autē modo, & à similis, & æqualis. ac similibus, conformis, ęqualis in pugna.

Tanquam ad aliquid.

Quæ aūt sunt tanq̄ ad aliqd (ut immediate opposita) disiūctiue inuicē cōstruunt. uel dies est, uel nox. uel lumē, uel tenebra. uel uita, uel mors. uel morb⁹, uel sanitas.

Interrogatiua.

Hoc ē, cū aliqs pro īterrogatiōe etiā interrogat.

Cęterū percōtatiua, ut q̄ respōsionē definite poscūt, ne quaq̄ cū articulis cōstruunt in interrogatiōe initiali orōis. qđ interrogatio ignorātis sit, articulus uero referētis. qs, qualis, uter, quotus, quātus, q̄lis, cuias, quot. In exceptione tñ interrogationis articulate interdū ꝓferūt. * ut, qualia dicis? quē dicis? & quis interrogas? Construunt aūt interrogatiua hæc, & maxime hoc nomē quis, cum uerbis, substātiuisq;, & uocatiuis subsequēte nomine, atq; etiā si ꝓnomē tertiæ personæ adhibeat. quis iste? uel quis hic uocat? qđ Socrates. Et per defectū substantiui. ut, quis ipse? Quod si, quis, ponat solū, cū quouis uerbo collocari poterit. ueluti, quis ambulat? quis disputat? Et si ꝓnomē reddatur, minime subinterrogatione opus erit. ut, qs scribit? ego. Si nomē, op⁹ adhuc erit interrogat. altera, qđ nomē cōe ad multa sit, multaq; significet. qs scribit? Esaias. qs Esaias? filius Nicolai. At ambigue interrogans, subiūctiuo coordinabit. utrū taceā? quid dicā? In summa interrogatio subiunctiuū uerbū requirit. uis dicā?

Indefinita.

Rursum q̄ nihil significāt definite, & ob hoc indefinita appellant, nō cōstruunt cum articulis. quis, qualis, uter, & quis sumptū enclitice. Nam in his initiale ο nō articulus, sed dictionis pars est.

Relatiua,

Ὡσαύτως δὲ καὶ τὰ κατὰ διαφορὰν λεγόμενα. οἷον ἄλλο, ἕτερον, διάφορον. καλείσθω δὲ διαφορικά, ἐξίσου δὲ ὄντα, ἀπ' εὐθείας πρὸς δοτικήν. ὥς τὸ φίλος τῷ δεῖνι, καὶ ἴσος, καὶ γείτων, καὶ ὅμοιος, καὶ ὁ αὐτὸς, καὶ ὁ ἐναντίος. Καὶ ὅσα ἐκ τοῦ ὁμοῦ, ἢ τῆς σὺν, τυγχάνει συγκείμενα. οἷον ὁμοούσιος, ὁμοφυής, σύμψηφος, σύνεδρος. Τὸ δὲ πρὸς γενικὴν ταῦτα συντάσσειν, κτητικοῦ ἂν εἴη, οὐ τοῦ περὶ τὸ πρός τι ἐτύμου. ὡσαύτως δὲ καὶ τὰ ἀπὸ τοῦ ὁμοίου, καὶ ἴσου. καὶ τῶν τοιούτων, οἷον ὁμοιοσχήμων, ἰσοπαλής.

Ὡς πρός τι.

Τὰ δὲ ὡς πρός τι (οἷον τὰ ἀμέσως ἀντικείμενα) διεζευγμένως ἀλλήλοις συντάσσεται. ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ. ἢ φῶς, ἢ σκότος. ἢ ζωὴ, ἢ θάνατος. ἢ νόσος, ἢ ὑγίεια.

Πευστικά.

Τὰ δὲ πευστικὰ, οἷον τὰ ἀπόκρισιν ὡρισμένως ζητοῦντα, ἥκιστα ἄρθροις συντάσσεται, ἐπ' ἐρωτήσει ἀρκτικῇ λόγου. ὅτι τὸ μὲν πύσμα ἀγνοοῦντος, τὸ δὲ ἄρθρον ἀναφέροντος. τίς, ποῖος, πότερος, πόσος, πόσος, πηλίκος, ποδαπὸς, ποσαῖος. ἐπ' ἀντερωτήσει δέ τοι τοῦ εἰρημένου. καὶ ἐνάρθρως ἐσθ' ὅτε. οἷον τὰ ποῖα λέγεις; τὸν τίνα; καὶ ὁ τίς ἐρωτᾷς; συνάπτεται δὲ τὰ ἐρωτηματικὰ ταῦτα καὶ μάλιστα τὸ τίς, τῶν ῥημάτων τοῖς ὑποτακτικοῖς τε, καὶ κλητικοῖς, ἐπαγομένου τε ὀνόματος, καὶ εἰ ἀντωνυμία ἐκ τρίτου πρόσκειται. τίς ἐστιν οὗτος; ἢ τίς ὅδε καλεῖται; ὅτι Σωκράτης. καὶ ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ. τίς οὗτος; εἰ γε μὴν τὸ τίς τάττηται μόνον, παντὶ ῥήματι συνάπτεσθαι δυνατὸν ἂν εἴη. τίς βαδίζει; τίς διαλέγεται; καὶ εἰ μὲν ἀντωνυμία ἀποδοθείη, ἥκιστ' ἂν ἐπερωτήσεως δέοι. οἷον τίς γράφει; ἐγώ. εἰ δ' ὄνομα, ἔτι δεῖ ἐρωτήσεως ἑτέρας διὰ τὸ τοῦ ὀνόματος ὁμώνυμον, καὶ ἄλλως πολύσημον. τίς γράφει; Ἡσαΐας. τίς Ἡσαΐας; ὁ Νικολάου. Διαπορητικῶς δὲ ἐρωτῶν, πρὸς ὑποτακτικὸν συντετάξεται. πότερον σιωπῶ; τί λέγω; ὅλως τε ἡ ἐρώτησις ὑποτακτικὸν τοῦ ῥήματος ἀπαιτεῖ. βούλει, εἴπω;

Ἀόριστα.

Καὶ τὰ μὴ δηλοῦντα δὲ ὡρισμένως μηθὲν, καὶ διὰ τοῦτο ἀόριστα προσαγορευόμενα, οὐ συντάσσεται ἄρθροις. ὅς τις, ὁποῖος, ὁπότερος, τὶς ἐγκλινόμενον. τὸ δ' ἐν τούτοις ἀρκτικὸν ο, οὐκ ἄρθρον, ἀλλὰ λέξεως μέρος.

Ἀναφορικά.

Relatiua.

Præterea relatiua & ipsa (ut interrogatiua & indefinita) tã de qualitate, q̃ de quãtitate dicunt, proprijsq́; & appellatiuis iungunt in simili gñe & casu, idq́; similitudinis aut demõstrationis causa. Nonnunq̃ tñ & admiratiue pferunt. Vocant aũt ita, quod sententiam ad aliquod referant prius cognitorũ. Cõtingit nẽpe hoc, cum quis dicat: talis erat Achilles, qualis Aiax. Hæc igit fuerint referentia quodãmodo prius cognitorũ, & similitudinaria. Liceat autẽ hæc & demonstratiua, & redditiua noĩare, qđ sępe utentes noĩbus huiusmodi, cõtemplãdo ostẽdimus quid simile, quodq́; uicissim sese reddũt, pceduntq́;, & sequunt, q̃q̃ proprie redditiua sunt q̃ incipiũt à τ. talis, talis, tantus. Quæ sanè & per δε extendnnt, talis, & cũ articulis construunt. Verũ q̃ à uocali incipiũt, nõ iungũtur articulis. Non eñ ὁ οἷος dicimus, neq́; ὁ ὅσος. Pręcedũt utiq́; se

Qualis. Quantus. inuicẽ in cõstructione, sequunturq́; ut dictũ est. ut, utinã

Ilia. π. quanto inferior sum, tanto te superior forẽ. &, Verũ non

Iliad. ρ. tot fuerũt, quot formosi græci. Quanq̃ etiã sine relatiuo accipiunt redditiua, uel absolute quidẽ, uel discretiue, uel

Odyss. α. admiratiue. Tale caput desydero. Multo tñ potius relatiua sine redditiuis. Siquidem calamitates perpessus est, quales nemo, dicimus.. Et, sapientibus cõuixit, qualibus nemo. Item, bella absoluit, quãta nemo.

Comprehensiua.

Cõphensiua uero, ueluti quæ in singulari numero multitudinẽ significãt, singularibus, & plural. adiungunt uerbis. populus dixit, populus dixerunt. Quanq̃ alia oĩa nomina singulariter prolata, singularib. adiungant uerbis. dualiter uero, dualibus. & pluraliter, pluralib. Pręter (quę Attice ordinant cum singularibus) neutra pluralia.

Atticorũ canon. Attici nanq́; plurales neutrorũ noĩm rectos singularibus coniungũt uerbis. Ludunt pueri. Et si aliqua fuerint for-

Quæ diuersis numero iungantur. matione quidẽ pluralia, significatione uero singularia, uel dualia, iuxta significationẽ uerbis singularib. aut dualib. nõ oportet cõponere, sed iuxta formationẽ pluralibus. Athenæ philosophia excelluerunt, nõ excelluit. Et

utriq́;

Ἀναφορικά.

Τὰ δὲ ἀναφορικὰ καὶ αὐτὰ (ὡς τὰ πευστικά, καὶ ἀόριστα) ἐπί τε ποσοῦ, καὶ ποιοῦ λέγεται, τοῖς τε κυρίοις, καὶ προσηγορικοῖς συντάσσεται ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως, καὶ ὁμοιώσεως, ἢ δείξεως ἕνεκα. Ἔστι δ᾽ ὅτε καὶ θαυμαστικῶς προφερόμενα. Καλεῖται δ᾽ οὕτω διὰ τὸ τὴν διάνοιαν ἐπί τι ἀναφέρεσθαι τῶν προεγνωσμένων. Συμβαίνει γὰρ τὸ τοιοῦτο ὅταν τις λέγῃ. τοιοῦτος ἦν Ἀχιλλεύς, οἷος Αἴας. Ταῦτα μὲν οὖν εἰκᾶν ἀναπολητικὰ τοῦ τῶν προεγνωσμένων, καὶ ὁμοιωματικά. Ἐξέστω δέ τοι ταῦτα καὶ δεικτικά, καὶ ἀνταποδοτικὰ ὀνομάζειν, ὅτι πολλάκις χρώμενοι τοῖς τοιούτοις δεικνύομεν ὁρῶντες τι ὅμοιον. καὶ ὅτι πρὸς ἄλληλα ἀνταποδίδοται ἡγούμενα καὶ ἑπόμενα. Κυρίως δ᾽ ἀνταποδοτικά, τὰ ἔχοντα τὸ τ, ἀρκτικόν. τοιοῦτος, τηλίκος, τόσος. ἃ δὴ καὶ τῷ δε ἐπεκτείνεται. τοιόσδε. καὶ ἄρθροις συντάσσεται. τάγε μὴν ἀπὸ φωνήεντος ἀρχόμενα, οὐ συντάσσεται ἄρθροις. οὐ γὰρ ὁ οἷος λέγομεν, οὐδὲ, ὁ ὅσος. Ἡγεῖται μὲν δὴ ἀλλήλων ἐν τῇ συντάξει, καὶ ἐπιφέρεται. ὡς εἴρηται. οἷον. αἴθ᾽ ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην. καί. ἀλλ᾽ οὐδ᾽ οἵ τόσσοι ἦσαν ὅσοι ἑλίκωπες ἀχαιοί. καὶ χωρὶς δὲ ἀναφορικοῦ λαμβάνεται τὰ ἀνταποδοτικά, ἀπολύτως, ἤτοι ἀπὸ σχηματικῶς, ἢ θαυμαστικῶς. τοίην κεφαλὴν ποθέω. Πολλῷ δὲ μᾶλλον τὰ ἀναφορικά, δίχα τῶν ἀνταποδοτικῶν. Συμφορῶν γὰρ πεπείραται, οἵων οὐδείς, φαμέν. καὶ σοφοῖς ἐνέτυχεν, οἷος οὐδείς. καὶ πολέμους διήνυσεν, ὅσους οὐδείς.

Περιληπτικά.

Τὰ δὲ περιληπτικά, οἷον τὰ δι᾽ ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαίνοντα, ἑνικοῖς καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν. ὁ δῆμος εἶπεν, καὶ ὁ δῆμος εἶπον. Καίτοι τἆλλα πάντα τῶν ὀνομάτων ἑνικῶς μὲν προφερόμενα, ἑνικοῖς συντάσσεται ῥήμασι. Δυϊκῶς δὲ δυϊκοῖς. πληθυντικῶς δὲ, πληθυντικοῖς. Πλὴν τῶν (Ἀττικῶς συντασσομένων ἑνικοῖς) οὐδετέρων πληθυντικῶν. Ἀττικοὶ γὰρ τὰς πληθυντικὰς τῶν οὐδετέρων ὀνομάτων εὐθείας ἑνικοῖς συντάσσουσι ῥήμασι. παίζει τὰ παιδία. Κἂν ᾖ δὲ ἄττα τῷ μὲν σχηματισμῷ πληθυντικά, τῇ δὲ σημασίᾳ ἑνικά, ἢ δυϊκά, ταῦτα τῷ μὲν σημαινομένῳ ῥήμασιν ἑνικοῖς, ἢ δυϊκοῖς, οὐ χρὴ συντάττειν, τῷ δὲ σχηματισμῷ πληθυντικοῖς. Ἀθῆναι φιλοσοφίαν διέπρεπον, οὐ διέπρεπε. καὶ

Ambo & duo. utriq; scribunt, nõ scribũt d. Cęterũ quia ambo, & duo ut significatione, ita & uoce tam dualibus, q̃ pluralib. adiũgunt uerbis. cũ propter naturalẽ significationẽ, tum quia cõplectuntur in plurali numero singularis, & dualis. Ambo currũt d. dicimus, & ambo currũt. Veruntñ in omni dictione susceptiua numeri utimur plurali frequẽtius. Nempe unus dixerit, nos scribebamus. Cõtra uero singularibus uti, uel dualibus pro pluralibus, uitiosum. nam illud

Iliad. i. Hom. Ne forte tanq̃ implicamẽtis retis capti rapacis, hostibus discerptio, ac præda fiatis. figura poëtica est, & in soluta oratione nõ usurpanda. sed neq; duali cũ singulari utimur. Nã quod duorũ significatiuũ est, in duali semper manet. Collectiua igitur, cũ & ipsa appellatiua sint, in eodem genere, eodemq; casu sibi adiectiua asciscunt. fortunatus populus, beata multitudo.

Partitiua.

E partitiuis aũt quadrupliciter formatis, aliud unũ notat è duob⁹. alter. Aliud duo per unũ. uterq;. Aliud unũ è multis. ali⁹. Aliud plureis per unũ. unusq̃q;. E quib. alterũ & aliud recipiũt articulũ. utrũq; & unũquodq; nõ. oĩa tñ gtĩ optãt uel possessiue, uel discretiue. ut, unũquodq; animaliũ, aliud à lapide est. Atq; ut adiectiua, ita ipsa in eodẽ gñe, eodẽq; casu cõstruũt cũ ꝓprijs & appellatiuis.

Ordinalia.

Itẽ ordinalia, puta significatiua ordinis, in eodẽ & gñe, & casu pariter cũ proprijs, & appellatiuis cõstruũtur. primus deus, prima substantia, prima species.

Materialia.

Participãtia aũt materiæ alicuius, & ob id dicta materialia, cũ ꝓprijs, & appellatiuis constructionẽ & ipsa hñt, sicut adiectiua. lignea tabella, testaceum uas. eiusdẽq; & gñis sunt, & casus cũ subiectis. Sic igit̃ & q̃ secundũ significationẽ sumuntur species.

Patronymica.

Quæ uero scd̃m uocẽ, alia qdẽ à patre, & maiorib. formant, & patronym. ob hoc appellant, ꝓpriaq; sunt potẽtia. Vñ sanè & constructionẽ eandẽ, quã ꝓpria habẽt cũ adiectiuis.

ἀμφότεροι γράφουσιν, οὐ γράφετον. τὸ δ' ἄμφω καὶ δύο δυϊκῶς, ὡς τῇ σημασίᾳ, οὕτω καὶ τῇ φωνῇ, δυϊκοῖς τε, καὶ πληθυντικοῖς συντάσσεται ῥήμασιν. τὸ μὲν διὰ τὴν φυσικὴν σημασίαν, τὸ δὲ διὰ τὸ ἐμπεριέχεσθαι τῷ πληθυντικῷ ἀριθμῷ τὸ ἕν, καὶ τὰ δύο. ἄμφω οὖν τρέχετον, λέγομεν, καὶ ἄμφω τρέχουσι. Καὶ μὲν δὴ καὶ περὶ ἅπασαν λέξιν ἐπιδεκτικὴν ἀριθμοῦ χρώμεθα τῷ πληθυντικῷ πολλάκις. ὁ γὰρ εἷς λέγοι ἄν, ἡμεῖς ἐγράφομεν. ἀνάπαλιν γε μὴν ἑνικοῖς χρῆσθαι ἢ δυϊκοῖς ἀντὶ πληθυντικῶν φαῦλον. τὸ δ' Ὁμήρου, Μήπως ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου, ἀνδράσι δυσμενέεσσιν ἕλωρ, καὶ κύρμα γένησθε. σχῆμα ποιητικόν ἐστι, καὶ τῷ πεζῷ λόγῳ ἄχρηστον. οὐ μὴν, ἀλλ' οὐδὲ δυϊκῷ πρὸς ἑνικὸν χρώμεθα, δυάδος γάρ τοι σημαντικὸν αἰεὶ τὸ δυϊκόν. Τὰ μὲν δὴ περιληπτικὰ ταῦτα προσηγορικὰ ὄντα, ὁμοιογενῶς τε, καὶ ὁμοιοπτώτως σφίσι τὰ ἐπίθετα σχηματίζει. ὁ εὐτυχὴς δῆμος. ἡ εὐδαίμων πληθύς.

Ἐπιμεριζόμενα.

Τῶν δὲ ἐπιμεριζομένων τετραχῶς σχηματιζομένων, τὸ μὲν εἷς ἐκ δύο. ὡς ἕτερος. Δύο καθ' ἕνα. ὡς ἑκάτερος. Εἷς ἐκ πολλῶν. ὡς ἄλλος. Πολλοὶ καθ' ἕνα. ὡς ἕκαστος. ἕτερον καὶ ἄλλο ἐπιδέχεται ἄρθρον. τὸ δ' ἑκάτερον καὶ ἕκαστον οὔ. πάντα δέ τοι πρὸς γενικὴν ἢ κτητικῶς, ἢ διαφορικῶς. οἷον ἕκαστον τῶν ζώων, ἕτερον τῶν λίθων ἐστίν. ἐπιθετικῶς μέν τοι καὶ ταῦτα, ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως συντάσσεται τοῖς κυρίοις καὶ προσηγορικοῖς.

Τακτικά.

Καὶ τὰ τακτικὰ δὲ, οἷον τὰ σημαντικὰ τάξεως, ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσεται. ὁ πρῶτος θεός, ἡ πρώτη οὐσία, τὸ πρῶτον εἶδος.

Μετουσιαστικά.

Τὰ δὲ μετέχοντα οὐσίας τινὸς, καὶ ταύτῃ καλούμενα μετουσιαστικά, πρὸς τὰ κύρια καὶ προσηγορικὰ τὴν σύνταξιν, καὶ αὐτὰ ἔχει, ὡς τὰ ἐπίθετα. ξύλινος πίναξ, ὀστράκινον σκεῦος. ὁμοιογενῆ τέ ἐστι καὶ ὁμοιόπτωτα τοῖς ὑποκειμένοις. οὕτω μὲν καὶ τὰ κατὰ σημασίαν εἴδη.

Πατρωνυμικά.

Τῶν δὲ κατὰ φωνὴν τὰ μὲν ἀπὸ πατρὸς καὶ προγόνων ἐσχηματισμένα, καὶ πατρωνυμικὰ διὰ τοῦτο καλούμενα, κύριά τε δυνάμει ἐστί, ὅθεν δὴ καὶ σύνταξιν τὴν αὐτὴν τοῖς κυρίοις ἔχει πρὸς

adiectiuis.ut Pelides generosus. Quin & adiūgere patronymicis licet ꝓpria filiorū ipsorū nomina, expſſionis causa, ubi cōis est pluribus generis denominatio. ut, Atrides Menelaus, Priamides Hector.

Possessiua.

Ita & quæ sunt subiecta possessioni similiter. Cōprehēditur nanq; in his res possessa, at, ut necesse sit subaudire quippiā. Nam si quis dicēs humanū, non inferat corpus, uel tale qd, imperfectū quiddā ꝓtulerit. Apponendū igit, aut ꝓpriū aliquod, aut appellatiuū. Cōstruunt aūt & hęc ut adiectiua in eodē casu, eodemq; gñe cū proprijs & appellatiuis, cōstructionēq; cū articulo eandē hñt, quā cum adiectiuis. Ionicū indumentū, indumentū Ionicū. & trāsumēti, Ionicū genus indumēti. Resolutioq; in primitiui gtm̄ interdū fit. Telamoni⁹ filius, Telamonis filius. meū amicū, amicū mei. Platonica opinio, Platonis opinio.

Comparatiua, & superlatiua.

Cōparatiua aūt & superlatiua coīter qdē cū subiectis, appellatiuisq; & ꝓprijs (de qbus ꝑdicant) cōstruunt, idq; ut adiectiua, in eodē genere, & eodē casu. At q tñ habent cōparationē, eorū gtm̄ postulāt. Achilles fortior Aiace, & fortissimus Grecorū. Differūt aūt hoc quidē, qđ non solum singularē, sed & pluralē sortiant gtm̄. uerū superlatiuum pluralē tm̄. Cōparatiuū eñ per intensionē uel ad unum assumitur, uel ad plura. Socrates Melisso sapiētior, & alijs illustribus. Superlatiuū uero per excessum ad plura semper. Socrates Græcorū sapiētissimus. At illud optime suiꝑsius disseruisse aliquē, ita dicit, ut nō ad personā, (cuius est genitiuus) fiat cōparatio, uerū ad alias eiusdē disputatiōes. In sum̄a, alia qdā semper circa personā cōsyderāda, nēpe in his superlatiui ratio. ut si dicat quis: optime aliarū suiꝑsius disputationū. Rursum hęc quidē non solū ad ea q sunt eiusdē gñis, artis, uel cognationis, sed ad ea q diuersi. Diony. ingeniosior Dione, Homer⁹ Orpheo sapiētior, Demost. Aeschine uehemētior, Diomedes inferior Achille, Aiax fortior Troian. Superlatiua uero ad aliqd simile, & cognatū semper. Hector fortissimus Troian. Sed

Definitio cōparatiui.

Superlatiui.

Græca locutio, nō latina

τὰ ἐπίθετα. οἷον Πηλείδης γενναῖος. Καὶ συντάσσειν δὲ τοῖς πατρωνυμικοῖς ἔξεστι τὰ κύρια τῶν παίδων αὐτῶν ὀνόματα, τοῦ σαφοῦς χάριν, ἔνθα κοινὸν πλειόσιν ἡ πατρωνυμία. οἷον Ἀτρείδης Μενέλαος, ὁ Πριαμίδης ἕκτωρ.

Κτητικά.

Οὐ μὴν δὲ καὶ τὰ ὑποπεπτωκότα τῇ κτήσει ὡσαύτως. ἐμπεριείληπται γὰρ τοῖς τοιούτοις τὸ κεκτημένον, ἀλλ' ἀνάγκη προσυπακούεσθαί τι. εἰ γάρ τις λέγων ἀνθρώπινον, μὴ ἐπιφέροι σῶμα, ἢ τοιοῦτό τι, ἀτελὲς ἄν, τι φράζοι. δεῖ τοίνυν προστιθέναι τι τῶν κυρίων, ἢ προσηγορικῶν. συντάσσεται δὲ καὶ ταῦτα ὡς τὰ ἐπίθετα ὁμοιοπτώτως, καὶ ὁμοιογενῶς τοῖς κυρίοις, καὶ προσηγορικοῖς, τήν τε σύνταξιν τοῦ ἄρθρου ὁμοίως ἔχει τοῖς ἐπιθέτοις. ἡ Ἰωνικὴ στολή, ἡ στολὴ Ἰωνική. καὶ μεταλαμβάνονται, τὸ Ἰωνικὸν τῆς στολῆς. Ἀνάλυσίς τε εἰς τὴν τῶ πρωτοτύπου γενικήν. Τελαμώνιος υἱός, Τελαμῶνος υἱός. τὸν ἐμὸν φίλον, τόν φίλον μου. Πλατωνικὴ δόξα, Πλάτωνος δόξα.

Συγκριτικὰ καὶ ὑπερθετικά.

Τὰ δὲ συγκριτικά τε ὑπερθετικὰ κοινῇ μὲν πρὸς τὰ ὑποκείμενα προσηγορικά τε καὶ κύρια (ὧν κατηγορεῖται) συντάσσεται ὡς τὰ ἐπίθετα ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως. πρὸς ἃ δὲ ἔχει τὴν σύγκρισιν γενικὴν ἀπαιτεῖ. Ἀχιλλεὺς ἰσχυρότερος Αἴαντος, καὶ ἰσχυρότατος ἑλλήνων. διαφέρει δὲ ἢ τὰ μὲν, οὐ μόνον ἑνικοῦ, ἀλλὰ καὶ πληθυντικοῦ εἴληχε γενικήν. τὰ δ' ὑπερθετικὰ πληθυντικοῦ μόνον. Συγκριτικὸν μὲν γὰρ τὸ καθ' ἐπίτασιν ἢ πρὸς ἓν λαμβανόμενον, ἢ πρὸς πλείω. Σωκράτης Μελίσσου σοφώτερος, καὶ ἑτέρων ἐνδόξων. Ὑπερθετικὸν δὲ τὸ κατ' ἐπίτασιν πρὸς πλείω ἀεί. Σωκράτης ἑλλήνων σοφώτατος. Τὸ δ' ἄριστα ἑαυτοῦ διαλεχθῆναί τινα, λέγεται μὲν, οὐ πρὸς τὸ πρόσωπον δὲ (οὗ ἡ γενική) ἡ παράθεσις, ἀλλὰ πρὸς τὰς ἄλλας αὐτοῦ διαλέξεις. ὅλως οὖν, ἀλλ' ἅττα ἀεὶ τῶν περὶ τὸ πρόσωπον θεωρητέον, ἐν γὰρ τοῖς τοιούτοις τὸ ὑπερθετικόν, ὡς ἂν εἰ λέγοιτις, ἄριστα τῶν ἄλλων ἑαυτοῦ διαλέξεων. Καὶ τὰ μὲν οὐ μόνον πρὸς ὁμοφυές, ἢ ὁμότεχνον, ἢ συγγενές, ἀλλὰ καὶ πρὸς ἑτερογενές. Διονύσιος εὐφυέστερος Δίωνος, Ὅμηρος Ὀρφέως σοφώτερος, Δημοσθένης Αἰσχίνου δεινότερος, Διομήδης ἥττων Ἀχιλλέως, Αἴας ἰσχυρότερος Τρώων. Τὰ δὲ ὑπερθετικὰ πρός τι τῶν ὁμοίων καὶ συγγενῶν ἀεί. Ἕκτωρ ἀνδρειότατος Τρώων. τὸ δ'

Iliad. β. ianorũ. Sed illud Hom. primissimus, tertijssimus, figurã
atq; aliás. solum superlatiui habet. Preterea comparatiua, coniunctiõe q̃ interueniẽte, & deinde casu cõparatiui subsequẽte, ordinãtur. ut melioribus q̃ uiris uobis cõuersatus sum.
Iliad. ε. Etiã si postq̃ secundũ, cũ accusatiuo inferamus. ut plusq̃ secundũ hominẽ. Et postq̃ plerunq;. ut q̃ secundum hominem. Item & cum infinitiuo proferuntur, interueniẽte q̃ quandoq; sola, quandoq; cum ut digressiuo aduerbio. ut ægritudo maior q̃ ut feratur, & ut possit ferri. Cæterũ superlatiuum cum his assumi non uult. Preterea superlatiua cum maximã intensionẽ habeant, nullum intensiuũ admittunt aduerbium. ut sunt ualde, uel maxime, uel huiusmodi. Cõparatiua uero quæ non perfectissimã intensionẽ habent, nonnunq̃ alterã puta aduerbialẽ assumunt
Iliad. γ. intensionẽ. ut in illo Homeri. Multo pauciores & habiliores sanè magis eritis. Rursum est quãdo superlatiuũ non redditur genitiuo. cuiusmodi, Hesperus, quæ pulcherri-
Iliad. χ. ma in cœlo stat stella. stella igitur pro stellarum transsumptiue. Sunt etiã quæ absolute prolata superlatiuorũ sortiuntur constructionẽ ob excellẽtiam innatã sibi. ut diua, & eximius, & presultor, & solus. Diua enim dearũ, & solus omniũ, & præsultor, & eximius super omneis. Cõtra etiã interdum comparatiuis pro ipsis positiuis licet uti, & notare quippiam positiuo etiã minus, uelle pro hæc loquens uidetur. Vt igitur uniuersaliter dicam, comparatio inter duos, demonstrat quidẽ uel personas, uel cum personis, & rem ipsam. Si enim dicat quis, hic mihi notior quàm tu, tres sunt personæ. Si uero, hic me fortior, duæ quidem personæ, res uero unica, fortitudo. Quare etiam uocetur alia quidem comparatiui constructio personalis, alia uero realis, hac de causa.

Diminutiua.

Diminutiua uero q̃ absolutã hñt formã, & significationẽ, diminutionẽ sine cõparatione indicãt primitiui. Cõstructionẽ uero eandẽ ut ꝓpria & appellatiua cũ ipsis adiectiuis hñt, nẽpe in eodẽ gñe, & in eodẽ casu.

Denomina-

ον. τὸ δ' Ὁμήρου, πρώτιστος καὶ τρίτατος, σχῆμα μόνον ὑπερθετικοῦ ἔχει. Καὶ τὰ μὲν συγκριτικὰ, καὶ τοῦ ἢ μεσοσυλλαβοῦντος, καὶ μετ' αὐτὸ πτώσεως ἧς καὶ τὸ συγκριτικὸν ἦν, ἐπαγομένης συντάσσεται. οἷον ἀρείοσιν ἤπερ ὑμῖν ἀνδράσιν ὡμίλησα. Καὶ ἔτι μετὰ τὸ ἢ τῆς κατὰ σὺν αἰτιατικῇ προσκειμένης. πλέον ἢ κατὰ ἄνθρωπον. καὶ μετὰ τοῦ ὡς ἔσθ' ὅτε. οἷον, ὡς κατὰ ἄνθρωπον. Καὶ μὴν καὶ πρὸς ἀπαρέμφατον λέγεται μεσοσυλλαβοῦντος ὁτὲ μὲν τοῦ ἢ, καὶ ἅμα τοῦ ὥς τε ἀποστατικοῦ, ὅτε δὲ τοῦ ἢ μόνου. οἷον τὸ νόσημα μεῖζον ἢ φέρειν, καὶ ἢ ὥς τε δύνασθαι φέρειν. Τὸ δ' ὑπερθετικὸν οὐδὲν τούτων προσλαμβάνειν ἐθέλει. Ἔτι τὰ μὲν ὑπερθετικὰ μεγίστην ἐπίτασιν ἔχοντα, οὐδὲν τῶν ἐπιτακτικῶν δέχεται ἐπιῤῥημάτων. οἷον, λίαν, ἢ μάλιστα, ἢ τοιοῦτό τι. τὰ δὲ συγκριτικὰ ἅτε μὴ τὴν τελευταίαν ἐπίτασιν ἔχοντα, ἔσθ' ὅτε δευτέραν ἐπιῤῥηματικὴν προσλαμβάνει ἐπίτασιν. οἷον τὸ Ὁμήρου. Πολὺ παυρότεροι καὶ ῥηΐτεροι δὴ μᾶλλον ἔσεσθε. Ἔτι τὸ ὑπερθετικόν ἐστιν ὅτε καὶ πρὸς οὐδεμίαν ἀποδίδοται γενικήν. οἷον, ἕσπερος ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ. Τὸ γοῦν ἀστὴρ, ἀντὶ τοῦ ἀστέρων κατὰ μετάληψιν. Ἐστὶ δὲ ἃ καὶ ἀπολύτως λεγόμενα ὑπερθετικῆς, τυγχάνει συντάξεως, δι' ὑπεροχὴν ἐνυπάρχουσαν σφίσιν, οἷον τὸ δῖα, καὶ ἔξοχος, καὶ κορυφαῖος, καὶ μόνος. δῖα γὰρ θεάων, καὶ μόνος ἁπάντων, καὶ κορυφαῖος, καὶ ἔξοχος πάντων. Ἀνάπαλιν δ' ἐνίοτε τοῖς συγκριτικοῖς ἀντὶ ἁπλῶν θετικῶν ἐστι χρήσασθαι, καίτοι καὶ τοῦ θετικοῦ μετριώτερον βούλεσθαι ὁ λέγων δοκεῖ. Ὡς μὲν οὖν ὅλως εἰπεῖν, ἡ σύγκρισις ἐπὶ δυοῖν, ἐμφαίνεταί γε μὴν ἤτοι πρόσωπα μόνον, ἢ μετὰ τῶν προσώπων, καὶ πρᾶγμα. εἰ μὲν γὰρ λέγοι τίς, ὅδε μοι γνωριμώτερος ἢ σύ, τρία τὰ πρόσωπα. εἰ δὲ, ὅδε ἐμοῦ ἰσχυρότερος, δύο μὲν τὰ πρόσωπα, ἓν δὲ τὸ πρᾶγμα, ἡ ἰσχύς. ὥστε, καὶ καλείσθω τὸ μὲν τῆς συγκριτικῆς συντάξεως, προσωπικόν, τὸ δὲ πραγματικὸν διὰ ταῦτα.

Ὑποκοριστικά.

Τὰ δὲ ὑποκοριστικὰ ἀπόλυτον ἔχει τὸ σχῆμα καὶ σημαινόμενον, μείωσιν ἀσυγκρίτως δηλοῦντα τοῦ πρωτοτύπου. Σύνταξιν δὲ τὴν αὐτὴν τοῖς κυρίοις καὶ προσηγορικοῖς πρὸς τὰ ἐπίθετα ἔχει, ὁμοιογενῶς γὰρ, καὶ ὁμοιοπτώτως.

Παρώνυ-

Denominatiua atq; uerbalia.

Denominatiuorũ, & uerbaliũ (q̃ peculiari noĩe sic dicunt, qđ à noĩe & uerbo trãsforment) q̃ quidẽ sunt ꝓpria uel appellatiua, in simili gñe, in similiq; casu, sibi adiectiua iũcta hñt, ut dictũ est. Quæ uero adiectiua, manifestũ ex eadẽ ratione, qđ adiectiuorũ quoq; more construãtur cum proprijs, & appellatiuis.

INSVPER DE NOMINVM CONstructione compendiosius.

Licebit aũt & in tria diuidẽti nomẽ, ꝓpriũ, & appellatiuũ, & adiectiuũ, de eius peculiari cõstructione consyderare. Oĩa em̃ alia cõstruant adiectiuorũ more cũ tanq̃ ꝓprijs, uel appellatiuis subiectis. atq; cõc q̃dẽ semper fuerit, qđ in eodẽ gñe, in eodẽq; & casu & numero, cõueniãt cũ ꝓprijs & appellatiuis. Propriũ uero his, q̃ nõ absolute, sed ad aliud dicũt, uel cũ gtõ, aut dati. cõstrui, uel cũ actõ aut infinitiuo, & id q̃dẽ q̃drifariã. sic uero cõparatiua quidẽ, & superlatiua oĩa cũ gtõ cõstruunt. Differũt aũt similitudine, & dissimilitud. gñis, itẽ numero, ut dictũ est. & q̃tenus superlatiuũ q̃dẽ sine gtõ reperit, cõparatiuũ aũt nõ.

Differentialia. Pręterea differẽtiã notãtia, cũ gtõ. ut alterũ, & diuersum, & aliud. Et q̃ ad aliquid scd'm ꝑeminentiã, & subiectionẽ dicunt. *Ad aliquid.* Itẽ priuatiua. pauper, orb⁹, indigus. *Priuatiua.* Et q̃ sunt plenitudinis. diues, abundãs, plenus. *Plenitudinaria.* Cæterũ q̃ ut possessiua cõsyderant, gñaliter. *Possessiua.* Porrò sumpta ex ęqualitate eorũ q̃ sunt ad aliquid, cũ dtõ. amicus, uicinus, ęq̃lis, similis. *Aequalitates.* Cũ actõ aũt, & infinitiuo, q̃ & proprie adiectiua sunt, & relatiua. ut pulcher formã, & pulcher aspectu, & qualis dictu, & auditu. Legẽ igit statuentes dicimus uel cõparatiue, uel discretiue, uel per ꝑeminentiã & subiectionẽ, & ęqualitatẽ eorũ q̃ ad aliquid, uel per synecdochen. Constructio itaq; nominũ talis inter sese.

DE CASV.

Casus aũt uariatio q̃dã fuerit noĩs, uel noĩatiui hñtis rationẽ huius circa finẽ. Ex quinq; igit numeratis casib⁹, primus, quia rectus, iuusitatius appellat casus. Idẽ em̃ rectum esse,

Παρώνυμα καὶ ῥηματικά.

Τῶν δὲ παρωνύμων καὶ ῥηματικῶν ἰδίᾳ ὀνομασθέντων, ὡς ἀπὸ ὀνόματος, ἢ ῥήματος ἐσχηματισμένων, ὅσα μέν ἐστι κύρια, ἢ προσηγορικά, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως σφίσι τὰ ἐπίθετα συντασσόμενα ἔχει, ὡς εἴρηται. ὅσα δὲ ἐπίθετα, δῆλον ὡς ταύτῃ. καὶ τὴν ἐπιθετικὴν λαμβάνοι ἂν σύνταξιν πρὸς τὰ κύριά τε καὶ προσηγορικά.

ΕΤΙ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΟΝΟΜΑΤΩΝ

συντάξεως συνοπτικότερον.

Εἴη δ᾽ ἂν καὶ ἐς τρία διελόντι τὸ ὄνομα, κύριον, καὶ προσηγορικόν, καὶ ἐπίθετον, περὶ τῆς κατ᾽ αὐτὸ συντάξεως θεωρεῖν. Πάντα γὰρ τἄλλα συντάσσοι τ᾽ ἂν ἐπιθετικῶς τοῖς ὡς κυρίοις, ἢ προσηγορικοῖς ὑποτιθεμένοις. καὶ κοινὸν μὲν ἂν εἴη τὸ ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως, καὶ ὁμοαρίθμως συμφέρεσθαι τοῖς κυρίοις, καὶ προσηγορικοῖς. Ἴδιον δὲ τῶν μὴ ἀπολύτως ἀλλὰ πρὸς ἕτερον λεγομένων τό, ἢ ἐς γενικήν, ἢ ἐς δοτικήν, ἢ ἐς αἰτιατικήν, ἢ ἐς ἀπαρέμφατον, τετραχῶς οὖν. ὧδε δέ, τὰ μὲν συγκριτικά, καὶ ὑπερθετικὰ πάντα ἐς γενικήν. διαφέρει δὲ τῷ ὁμοιογενεῖ τε, καὶ ἑτερογενεῖ, καὶ τῷ ἀριθμῷ, ὡς εἴρηται. καὶ ἢ δὴ τὸ μὲν ὑπερθετικὸν καὶ χωρὶς γενικῆς, τὸ δὲ συγκριτικὸν οὔ. Ἔτι τε τὰ διαφορικὰ ἐς γενικήν. οἷον τὸ ἕτερον, καὶ διάφορον, καὶ ἄλλο. Καὶ τῶν πρός τι τὰ καθ᾽ ὑπεροχήν, καὶ ὑποταγήν. Καὶ τὰ στερητικά. πένης, ὀρφανός, ἐνδεής. Καὶ τὰ πληρωματικά. πλούσιος, εὔπορος, πλήρης. Καὶ τὰ ὡς κτητικὰ θεωρούμενα ὅλως. Τὰ δ᾽ ἐξίσου τῶν πρός τι ἐς δοτικήν. φίλος, γείτων, ἴσος, ὅμοιος. Ἐς αἰτιατικὴν δὲ καὶ ἀπαρέμφατον τά τε κυρίως ἐπίθετα, καὶ τὰ ἀναφορικά. οἷον, καλὸς τὸ εἶδος, καὶ καλὸς ἰδεῖν. καὶ οἷος εἰπεῖν, καὶ ἀκοῦσαι. Καὶ * νομοθετοῦντες οὖν λέγομεν ἢ παραθετικῶς, ἢ διαφορικῶς, ἢ καθ᾽ ὑπεροχήν, καὶ ὑποταγήν, καὶ ἰσότητα τῶν πρός τι, ἢ συνεκδοχικῶς. Σύνταξις μὲν τοίνυν τῶν ὀνομάτων τοιαύτη πρὸς ἄλληλα. alias ὀνομαθετοῦντες.

ΠΕΡΙ ΠΤΩΣΕΩΣ.

Πτῶσις δὲ μεταβολὴ μὲν εἴη ἄν τις ὀνόματος, ἢ ὀνομαστικοῦ τοῦ κατὰ τὸ τέλος. Γένει δὲ ἀριθμουμένων πτώσεων, ἡ πρώτη καὶ ὀρθὴ καταχρηστικώτερον λέγεται πτῶσις. ταυτὸ γάρ τοι ὀρ

Rectus & noiatiuus. ctũ esse,& deflexũ simul nõ potest. Noiat aũt idẽ & rect⁹. & ntũs, cõponiturq; cum recta,& indicatiua oratione.

Genitiui constructio.

Ex quatuor aũt obliquis genitiuus quidẽ gñationis,& possessionis nominibus subiungit. Filiũ em̃ Socratis esse dicimus, domũ Aristo. Vnde si qs & possessiuũ hunc uocet, nihil peccauerit.

Datiui.

Iliad. ζ. Iliad. ι. Datiuus itẽ cũ quid dat,largiturue,aut mittit,siue oĩno aliter acquirit, cõstructionẽ habet. Glaucus Diomedi arma dedit aurea, Phercelus Alexãdro nauẽ fabricauit.

Accusatiuus.

Accusatiuus uero causam reddẽtib. potissime est usui. ut Socrates dignũ putat laudari ob uirtutẽ.

Vocatiuus.

Cęterũ uocatiuus,ubi quis accersend⁹,excitãdusq; est, & intrãsitiue cũ secũdis uerborũ personis cõstruitur. Huc *Homericũ.* ades celeberrime Vlysses, magnũ decus Gręcorũ.

Mutua mutatio.

Distributis aũt nominibus in quinq; casus, reciprocas mutatiões casuũ hmõi aut recipimus tanq̃ figuras, quas *Linguarum peculiares mutationes.* linguæ alicuius ꝓprietas freqũetius admittit,aut oĩno reijcimus quasi incõgruas,ineptasq;.Solent em̃ Attici nominatiuũ sumere ꝓ uocatiuo. Macedones uero & Thes- *Iliad. β.* sali cõtra.Sed qd & Thyestes Agamẽnoni permisit, gestare multis insulis,& Argo toti imperare. Vbi tñ uocatiuus & nominatiuus coincidunt, utrũuis pro formæ argumento licebit assumere,ut dictum est.

DE VERBO.

Verbi finitio.



Erbum autẽ est orationis pars,quæ personas discriminat, tẽporaq; uaria significat secũdũ diuersas trãsformatiões. Cęterũ qd sit tẽpus supra grãmatices facultatẽ fuerit cõsyderare, & definire. Sumere ergo hic tẽpus ut & alia pleraq;,confuse oportere,dicimus,sed neq; exacte,& curiose inquirere motus numerũ,secundum prius & posterius. Siquidẽ nihil

θὸν εἶναι, καὶ πεπτωκὸς ἅμα οὐχ οἷόν τε. ὀνομάζεται δ' ἡ αὐτὴ καὶ εὐθεῖα, καὶ ὀνομαστικὴ, ἁρμόζει τε τῷ ὀρθῷ καὶ ἀποφαντικῷ λόγῳ.

Γενική.

Τῶν δὲ τεσσάρων πλαγίων, ἡ μὲν γενικὴ γενεαλογίας, καὶ κτηματολογίαις συντέτακται. Παῖδα γὰρ Σωκράτους εἶναι φαμὲν, καὶ οἶκον Αριστοτέλους. ὅθεν εἴτις καὶ κτητικὴν καλεῖ, οὐκ ἂν ἁμαρτάνοι.

Δοτική.

Η δὲ δοτικὴ τὴν τοῦ διδόναι, καὶ χαρίζεσθαι, καὶ ἐπιστέλλειν, καὶ καθόλου τὴν τοῦ περιποιεῖσθαι εἴληχε τάξιν. Γλαῦκος Διομήδει ὅπλα ἐδεδώκει χρυσᾶ. Φέρεκλος Αλεξάνδρῳ ἐναυπήγει.

Αἰτιατική.

Η δ' αἰτιατικὴ αἰτιολογοῦσι μάλιστα ἥκει εἰς χρῆσιν. οἷον Σωκράτης ἀξιοῖ ἐπαινεῖσθαι δι' ἀρετήν.

Κλητική.

Η δὲ κλητικὴ ἐστὶ τὸ καλεῖν τινα καὶ ἐπιστρέφειν, ἀμεταβάτως τοῖς δευτέροις τῶν ῥημάτων προσώποις συνταττομένη. Δεῦρ' ἄγ' ἰὼν πολύαιν' Οδυσσεῦ, μέγα κῦδος ἀχαιῶν.

Ανθυπαλλαγή.

Αναμερισθέντων δὲ τῶν ὀνομάτων εἰς πέντε πτώσεις τὰς ἀνθυπαλλαγὰς τῶν πτώσεων, ἢ παραδεχόμεθα ὡς σχήματα ἄττα διαλέκτου τινὸς συνηθέστερον τὸ τοιοῦτο ἐνδεξαμένης, ἢ ἀπαραδέκτους ποιούμεθα ὡς ἀκαταλλήλους. Αττικῶν μὲν γὰρ τὸ τὴν εὐθεῖαν λαμβάνειν ἀντὶ κλητικῆς. Μακεδονικὸν δὲ, ἢ Θεσσαλικὸν τὸ ἀνάπαλιν. αὐτὰρ ὃ αὖτε Θυέστ' Αγαμέμνονι λεῖπε φορῆναι, πολλῇσι νήσοισι καὶ ἄργει παντὶ ἀνάσσειν. ἔνθα γε μὴν ἡ κλητικὴ καὶ εὐθεῖα συνεμπίπτει, οὐδετέραν εἰς ἔλεγχον τοῦ σχήματος ἔστι λαμβάνειν, ὡς εἴρηται.

ΠΕΡΙ ΡΗΜΑΤΩΣ.



Ων δὲ ῥῆμα, ἔστι μὲν λόγου μέρος, προσώπων τε διακριτικὸν, καὶ χρόνων διαφόρων προσημαντικὸν κατὰ διαφόρους μετασχηματισμούς. Τί δὲ ἐστὶν ὁ χρόνος, πλέον ἂν εἴη ἢ κατὰ γραμματικὴν θεωρῆσαί τε, καὶ ὁρίσασθαι. Λαβεῖν οὖν καὶ τὸν χρόνον ὡς καὶ ἄλλα πολλὰ συγκεχυμένως χρῆναι φαμὲν, ἀλλὰ μὴ περιεργάζεσθαι τὸν τῆς κινήσεως ἀριθμὸν, κατὰ τὸ πρότερόν τε καὶ ὕστερον. Πλέον

Verbi tempora. nihil ad institutũ,nisi definiti cognitio, nobis confert. Distributo igitur tẽpore in sex. Præsens quidẽ rem instantẽ, imperfectãq; significat. Imperfectũ uero intentã,at quæ infecta præterijt. Sed futurũ, quæ nondũ est. Item indefinitũ,quæ præterijt quidem & perfecte, nõ definite tamẽ, quantũ ad actionẽ,passionẽq;. Perfectũ aũt, quod præterijt nuper, & perfectio est præsentis. Plusquam uero perfectum, quod præterijt dudum,& perfectio est præteriti.

DIVISIO VERBI.

Verbũ personale. Impersonale. Diuidatur autẽ uerbũ latius, sic. Aliud enim est personale. ut dico. aliud imperson. ut oportet. Personale rursus aliud quidẽ actiuũ,aliud passiuũ, aliud neutrũ. ut uiuo. aliud itẽ mediũ.ut cõpello.alid' per se actiuũ.pugno. aliud per se passiuũ.ut patior. Vocetur aũt & aliud oĩno actiuũ in uerbis neutris,cuiusmodi est conscẽdo.Et tertiũ per se neutrũ.ut ditesco. Quemadmodũ rursum & oĩno passiuũ aliud, quod oĩno actiuo in diuisione opponit secundũ genus plusq̃ med.aut plusq̃ cõe. Voco aũt plusq̃ *Plusquã medium. Plusq̃ cõe.* med.& p.q.c. quod pass.uã quidẽ semper habet uocẽ, significationẽ uero qñq; actiuã.ut pugno.quandoq; passiuã.ut fio. Præterea & ex neutris,aliud substantiuũ,aliud minime. Itẽ aliud perfectũ,aliud imperfe. Est uero & impersonale aliud quidẽ quasi actiuũ.ut cõuenit. aliud uero quasi passiuũ.ut dicit. Ex oĩbus aũt uerbis q̃dã per immissionẽ consyderent,tanq̃ forinsecus aliqd assumentia. Quædã per emissionẽ intrinsec' abijciẽtia aliqd. Quædã per acqsitionẽ ministeriũq; sumant. Et q̃dam trãsitiue,q̃dam intrãsitiue.q̃dã perfecte,q̃dã imperfecte.Cõstructio *Actiuum.* igitur actiuorũ est,ut actus in aliquod traducat subiectũ. *Passiuum.* ut seco lapidẽ,& curo ægrotantem. Quibus sanẽ & passiuum ex eo (quod ipsi subest) genere actiuo subinfertur. ut curatur ægrotans, secatur lapis.

Neutrorum.

Non itẽ uero & neutra cõueniũt cũ actiuis. Quãdoquidem sum,& uiuo,& sapio,& ditesco, & ualeo, atq; id genus alia à passiua affectione abhorrent. quippe quæ nec per indicatiuũ modũ aut actionis aliquid, aut passionis exhibeant.

γάρτοι οὐδὲν ἐς τὸ παρὸν ἡ τοῦ διωρισμένου γνῶσις ἡμῖν συμβαλεῖται. Διῃρημένου δ' ἄρα τοῦ χρόνου εἰς ἕξ. ὁ μὲν ἐνεστὼς, τὸ ἐνιστάμενον σημαίνει, καὶ ἀτελές. Ὁ δὲ παρατατικὸς, τὸ παρατεταμένον καὶ ἀτελὲς τοῦ παρῳχημένου. Ὁ δὲ μέλλων, τὸ μήπω γεγονός. Ὁ δὲ ἀόριστος, τὸ παρεληλυθὸς μὲν καὶ τέλειον, οὐχ ὡρισμένον δὲ τὰ περὶ τὴν ἐνέργειαν, ἢ τὸ πάθος. Ὁ δὲ παρακείμενος τὸ παρεληλυθὸς ἄρτι, καὶ ἐντελὲς τοῦ ἐνεστῶτος. Ὁ δὲ ὑπερσυντέλικος τὸ παρεληλυθὸς πάλαι, καὶ ἐντελὲς τοῦ παρακειμένου.

ΔΙΑΙΡΕΣΙΣ ΡΗΜΑΤΩΣ.

Διαιρείσθω δὲ τὸ ῥῆμα καὶ πλεῖον, ὧδε. Τὸ μὲν γάρ τοι προσωπικόν. οἷον λέγω. Τὸ δ' ἀπρόσωπον. οἷον χρή. Προσωπικοῦ δ' αὖ, τὸ μὲν ἐνεργητικόν, τὸ δὲ παθητικόν, τὸ δὲ οὐδέτερον. οἷον ζῶ. καὶ τὸ μὲν μέσον. οἷον βιάζομαι. τὸ δὲ αὐτοενεργητικόν. μάχομαι. τὸ δὲ αὐτοπαθητικόν. πάσχω. Καλείσθω δὲ καὶ ἕτερόν τι ὁλοενεργητικὸν ἐν τοῖς οὐδετέροις. οἷον τὸ ἀσθμαίνω. καὶ τρίτον αὐτοουδέτερον. οἷον τὸ πλουτῶ. ὥσπερ αὖ πάλιν, καὶ ὁλοπαθὲς ἕτερόν τι, τὸ αὐτοενεργητικῷ ἀντιδιαιρούμενον, κατὰ γένος τὸ ἐπίμεσον, ἢ ἐπίκοινον. Καλῶ γὰρ ἐπίμεσον, καὶ ἐπίκοινον, τὸ παθητικὴν μὲν ἀεὶ ἔχον φωνήν, σημασίαν δὲ τῇ μὲν ἐνεργητικήν. οἷον μάχομαι. τῇ δὲ παθητικήν. οἷον γίνομαι. Ἔτι τε τῶν οὐδετέρων, τὸ μὲν, ὑπαρκτικόν, τὸ δὲ οὔ. καὶ τὸ μὲν τέλειον. τὸ δὲ ἀτελές. Ἔστι δὲ καὶ τῶν ἀπροσώπων τὸ μὲν, ὡς ἐνεργητικόν. οἷον προσήκει. τὸ δὲ ὡς παθητικόν. οἷον λέγεται. Συμπάντων δὲ τῶν ῥημάτων τὰ μὲν κατ' εἰσπομπὴν θεωρείσθω ἔξωθέν τι λαμβάνοντα. Τὰ δὲ κατὰ ἐκπομπὴν οἴκοθεν προσλαμβάνοντά τι. Τὰ δὲ κατὰ περιποίησίν τε, καὶ ὑπουργίαν. Καὶ τὰ μὲν, ἀμεταβάτως, τὰ δὲ μεταβατικῶς. καὶ τὰ μὲν τελείως, τὰ δὲ ἀτελῶς. Σύνταξις δὲ τῶν ἐνεργητικῶν, ὥστε τὴν ἐνέργειαν ἐπί τι διαβιβάζεσθαι ὑποκείμενον. οἷον τέμνω τὸν λίθον. καὶ ἰατρεύω τὸν νοσοῦντα. Οἷς δὴ καὶ τὸ παθητικὸν ἐκ προϋφισταμένης διαθέσεως ἐνεργητικῆς ἐπιφέρεται. alias additur οἷον.
* ἰατρεύεται ὁ νοσῶν, τέμνεται ὁ λίθος.

Οὐδετέρων.

Οὐκ ἔτι δὲ καὶ τὰ οὐδέτερα ὁμοίως τοῖς ἐνεργητικοῖς. Τοῦ γὰρ ὑπάρχω, καὶ ζῶ, καὶ φρονῶ, καὶ πλουτῶ, καὶ ὑγιαίνω, καὶ τῶν τοιούτων, ἡ παθητικὴ διάθεσις κεχωρισμένη ἐστίν. ἐπεὶ οὐ διὰ τῆς ὁριστικῆς τούτων ἐγκλίσεως ἐνεργοῦντα ἄλλα, καὶ πρὸς διατιθέντα

exhibeāt. Quare si qs huiusmodi inflectat in passiuas uoceis, dictionē non naturalē aliquā, & consistentē declinationē exercet. ueluti si & masc. huius lactans, aut aborta pronunciet, aut alterius hmōi, q̄ uoce quidē cōuenire, acceptiōe uero, aut sensu nō possunt. Igit̃ neutra hoc tantū definiunt, nēpe adesse quod signat̃. ut uiuere, aut sapere, aut senescere. & terminationē in μαι non admittunt.

Mediorum, & per se actiuorum.

Contra uero media & per se actiua. nequeunt em̄ hęc suscipere, nec finire in ω. cogo, pugno. Liquet igit̃ quod omni passiuo in μαι definēti licet actiuū suscipere, si cum terminatione, ea quæ sunt cōstructionis, & sensus, seruentur. ut amo te, quod amor. Habent em̄ uerba omnia casum pręcedentē, à fronte rectū, qui semper adest, uel prolatus, uel intellectus in omni modo, & numero, & persona, & tempore. præter infinitiua, hæc enim accusatiuum retinent.

Complexio orationis.

Itaq; unū, coniungitur uni. Socrates philosophat̃. uel unū duob. Socrates, & Plato phantur. Id autē fit aut natura, aut figura. Natura quidē, si uerbū præponat̃, uel interueniat singulariter. ut philosophātur Socrat. & Plato. Socra. phātur & Plato.

Per figuram præadiunctiuam.

Figura aūt p̄adiunctiua, si pluraliter. philosophant̃ Socrates & Plato. Socrates philosophant̃ & Plato. Rursum natura, si iungant̃ pluraliter. Socrates & Plato phantur.

Per figuram adiunctiuam.

Figura aūt adiunctiua, si singulariter. Socrates & Plato philosophat̃. cui aduersatur cōceptio. ut dixerunt turba. & spargebātur unusquisq;. Recipiūt ergo obliqui uerba transitiue, cū quibus intransitiue rectus construitur.

SPECIES TRANSITIVORVM personaliū.

Tres species transitiuorū pers. Species aūt singulę trāsitionis personaliū supponant̃, generaliterq; & simpliciter tres. Prima eorū q cum actō per emissionē cōsyderata, ordināt̃. ut doceo te, & doceo literas. Secunda uero quæ cum genitiuo per admissionē.

περίσταται. ὥστ' εἴτις τὰ τοιαῦτα κλίνει ἐς παθητικὰς προφορὰς μελέτημα φωνῆς, οὐ φυσικήν τινα, καὶ συστατικὴν κλίσιν ποιεῖται. οἷον εἰ καὶ ἀρσενικὸν τὸ γαλουχήσασα, καὶ ἐκτρώσασα λέγοι, ἢ ἑτέρου τῶν κατὰ φωνὴν μὲν συμπιπτόντων, ἐν παραδοχῇ δὲ λόγου μὴ δυναμένων. Τὰ μὲν οὖν οὐδέτερα αὐτοῦ μόνου ἐμφαίνει ὁρισμὸν τὸ συνεῖναι τὸ σημαινόμενον. οἷον τὸ ζῆν, ἢ φρονεῖν, ἢ γηρᾶν. καὶ τῷ ἐς μαι καταλήξιν οὐ προσίεται τὸ παράπαν.

Μέσων, καὶ αὐτοενεργητικῶν.

Ἀνάπαλιν δὲ τὰ μέσα, καὶ αὐτοενεργητικά. τούτοις γὰρ ἅπασι ἐνδέχεται τὸ λῆγον εἰς ω. βιάζομαι, μάχομαι. Δῆλον οὖν ὅτι παντὸς παθητικοῦ εἰς μαι λήγοντος ἐνεργητικὸν ἐστὶ παραδέξασθαι, ἐὰν μετὰ τῆς λέξεως καὶ τὰ τῆς συντάξεώς τε, καὶ διανοίας σώσηται. οἷον φιλῶ σε, ὅτι φιλοῦμαι. ἔχει δὲ ἄρα ἅπαντα πτῶσιν προϋφισταμένην ἐκ πρώτου ὀρθὴν, ἢ καὶ συμφέρεται. ἤτοι λεγομένη, ἢ νοουμένη ἐπὶ πάσης κλίσεως, καὶ ἀριθμοῦ, καὶ προσώπου, καὶ χρόνου. πλὴν τῶν ἀπαρεμφάτων, ταῦτα γὰρ αἰτιατικὴν περιέχει.

Συμπλοκὴ λόγου.

Η γοῦν ἕν, συνάπτεται ἑνί. οἷον Σωκράτης φιλοσοφεῖ. ἢ ἐν δυοῖν. Σωκράτης καὶ Πλάτων φιλοσοφεῖ. Τοῦτο δὲ ἤτοι φύσει, ἢ σχήματι. Φύσει μὲν, ἐὰν τὸ ῥῆμα προτάττηται, ἢ μεσοσυλλαβεῖ ἑνικῶς. οἷον φιλοσοφεῖ Σωκράτης, καὶ Πλάτων. Σωκράτης φιλοσοφεῖ, καὶ Πλάτων.

Σχήματι προεπιζευκτικῷ.

Σχήματι δὲ προεπιζευκτικῷ, ἐὰν πληθυντικῶς. φιλοσοφοῦσι Σωκράτης καὶ Πλάτων. Σωκράτης φιλοσοφοῦσι καὶ Πλάτων. Ετι φύσει, ἐὰν ἐπιτάττηται πληθυντικῶς. Σωκράτης καὶ Πλάτων φιλοσοφοῦσι.

Σχήματι ἐπιζευκτικῷ.

Σχήματι δὲ ἐπιζευκτικῷ, ἐὰν ἑνικῶς. Σωκράτης καὶ Πλάτων φιλοσοφεῖ. ὃ ἀντίκειταί πως τὸ περιληπτικόν. ὡς φασὶν ἡ πληθύς. καὶ ἔσωι θνατὸς ἕκαστος. Ενδέχονται μὲν οὖν αἱ πλάγιαι τὰ ῥήματα μεταβατικῶς, οἷς ἀμεταβάτως ἡ εὐθεῖα συντάσσεται.

ΕΙΔΗ ΤΩΝ ΜΕΤΑΒΑΤΙΚΩΝ ΠΡΟΣΩΠΙΚΩΝ.

Εἴδη δὲ τῆς καθ' ἕκαστα μεταβάσεως τῶν προσωπικῶν ὑποκείσθωσαν, καθόλου τε καὶ ἀπλαστρία. Πρῶτον μὲν εἰς αἰτιατικὴν τῶν κατ' ἐκπομπὴν θεωρουμένων. οἷον διδάσκω σε, καὶ διδάσκω γραμματικά. Δεύτερον δὲ ἐς γενικὴν τῶν κατ' εἰσπομπήν.

οἷον

ut oro te. Tertia eorũ, quæ cum dtõ per acquisitionẽ. ut do tibi. Quartæ aũt sunt cõposita quædã, pdicta etiam coĩa, quorũ nõnulla cũ actõ. ut doceo te grãmaticã, rogo te quæ sunt æqua, do tibi aurũ. Vocẽtur aũt hæc transitiua. Quædã rursum cum gtõ. ut doceo te ob honestũ, oro te ob necessitatẽ, impartio tibi ob defectũ. Vocentq; hęc causalia, uel defectiua. Alia itẽ cum dtõ. ut doceo te fortuna bona, oro te tota anima, do tibi manu. Vocentur & hęc instrumẽtalia. Quędã cũ infi. dupliciter. nẽpe hęc uel ad finẽ pertinet, uel speciẽ, uñ & partim qdẽ finalia, partim uero specifica uocet. ut doceo te ratiocinari, oro te ut auxilieris, do tibi emendũ, dico Socratẽ fuisse sapientẽ, puto oẽs cõfessuros. Addat etiã & alia quædã cũ actõ frequentius. ut doceo te longo tẽpore grãmaticã. Similiter uero & in reliquis. Vocet aũt hęc & defectiua secũda. Et itẽ alia quædã pariter, ad quodcũq; idonea aduerbium, aut per quãcũq; pposition ẽ, doceo te nũc, uel libẽter, uel utut alias pdicare pro usu uisum fuerit. & imbecillis erat ob defectũ pecuniæ. Et utcũq; alias uti libuerit ppositionẽratio dicta uerit. Vocetur itaq; hoc partim aduerbiale, partim diuersi finis. in summa uero cõprædicatiuũ. Defectũ itaq; ac plenitudinẽ cõstructionis (prout uisum idoneũ fuerit) colligere est ex pdictis. ut doceo te disserere, doceo te grãmaticã disserere exacte. Nam tãetsi illi q in unũ cõpræhenderit cõposita, addere aliqd singulis simpliciũ permittatur (ut do tibi aurũ usus causa manu propria, ut emas ea quorũ eges) loqui tñ manifestius oportet interposita uel cõiunctiõe, uel ppositione, uel aduerb. uel alio, qđ cõueniat græcismo. ut do tibi aurũ pñtis causa indigentiæ, ut comparans quorũ eges, habeas. uel ut emas quorum eges.

Transitiua.

Accessiua. Recipiunt aũt & hæ orões, pugno pugnã, uiuo uitã, & seruio seruitutẽ, oẽsq; similes tanq accessiuæ. Voco eñ accessiuũ, cũ transitioni aliqd deest. ut doceo grãmaticã.

Loci primæ speciei.

Loci uero primæ speciei, uerba quõcunq; actiua, siue

secundũ

οἷον δέομαί σου. Τρίτον δὲ εἰς δοτικὴν τῶν κατὰ περιποίησιν. οἷον δίδωμί σοι. Τέταρτα δὲ συγκείμενα ἅττα καὶ τῶν εἰρημένων κοινά, τὸ μὲν εἰς αἰτιατικήν. οἷον διδάσκω σε τὰ γραμματικά, δέομαί σου τὰ δίκαια. δίδωμί σοι χρυσίον. Καλείσθω δὲ διαβατικόν. Τὸ δὲ εἰς γενικήν. οἷον διδάσκω σε τοῦ καλοῦ, δέομαί σου τῆς χρείας, μεταδίδωμί σοι τῆς ἐνδείας. Καλείσθω δὲ αἰτιολογικόν, ἢ ἐλλειπτικόν. Τὸ δὲ εἰς δοτικήν. οἷον διδάσκω σε τύχῃ ἀγαθῇ, δέομαί σου ὅλῃ ψυχῇ, δίδωμί σοι χειρί. Καλείσθω δὲ ὀργανικόν. Τὸ δὲ εἰς ἀπαρέμφατον. διχῶς δέ. ἢ γάρ τοι ὡς εἰς τέλος, ἢ ὡς εἰς εἶδος. ὅθεν δὴ καὶ τῇ μὲν τελικόν, τῇ δὲ εἰδικὸν καλείσθω. διδάσκω σε διαλέγεσθαι, δέομαί σου βοηθῆσαι, δίδωμί σοι πρίασθαι, λέγω Σωκράτην γεγονέναι σοφόν, οἶμαι πάντας ὁμολογήσειν. Προσκείσθω δὲ καὶ ἕτερόν τι εἰς αἰτιατικὴν κοινότερον. διδάσκω σε χρόνον συχνὸν τὰ γραμματικά. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Καλείσθω δὲ ἐλλειπτικὸν δεύτερον. Καὶ ἔτι ἕτερόν τι ὁμοίως εἰς ὁτιοῦν τῶν προσηκόντων ἐπιρρημάτων, ἢ δι᾽ ἡστινοσοῦν τῶν προθέσεων. διδάσκω σε νῦν. ἢ ἡδέως. ἢ ὡς ἂν ἄλλως κατηγορεῖν πρὸς τὴν χρείαν δοκῇ. καὶ ἀσθενὴς ἦν δι᾽ ἀχρηματίαν. καὶ ὅπως ἄλλως χρῆσθαι προθέσει κατὰ λόγον ἂν ᾖ. Καλείσθω δὲ τῇ μὲν προσρηματικόν, τῇ δὲ ἑτεροτελές. τὸ σύνολον δέ τοι συγκατηγορηματικόν. Τὸ δ᾽ ἐλλειπές, ἢ πληρέστερον τῆς συντάξεως (πρὸς τὸ δοκοῦν) ἱκανῶς ἂν ἔχειν ἔσται ἐκ τῶν εἰρημένων. οἷον διδάσκω σε διαλέγεσθαι, διδάσκω σε τὰ γραμματικὰ διαλέγεσθαι εὖ. ἐπεὶ κἂν εἰς ἓν συλλαμβάνοντι τὰ συγκείμενα προστιθέναι ἑκάστῳ τῶν ἁπλῶν εἴη ἂν (οἷον δίδωμί σοι χρυσίον τῆς χρείας χειρὶ τῇ ἐμαυτοῦ, πρίασθαι, ὧν ἂν δέῃ) φράζειν μέν τοι ἐπὶ τὸ σαφέστερον δεῖ ἐπεντιθέντας ἢ σύνδεσμον, ἢ πρόθεσιν, ἢ ἐπίρρημα, ἢ ὡς ἂν ἄλλως εὖ ἔχῃ ἑλληνισμοῦ. οἷον δίδωμί σοι χρυσίον τῆς παρούσης ἕνεκα χρείας, ὅπως πριάμενος ὧν ἂν δέῃ ἔχῃς. ἢ ὥστε πρίασθαι, ὧν ἂν δέῃ.

Ἐπιβατικά.

Εἰλήφθω δὲ καὶ τὸ μάχομαι μάχην, καὶ ζῶ ζωήν, καὶ δουλεύω δουλείαν, καὶ πάντα τὰ τοιαῦτα ὡς ἐπιβατικά. Καλῶ γὰρ ἐπιβατικόν, τὸ τοῦ διαβατικοῦ ἐλλειπτικόν. οἷον διδάσκω γραμματικά.

ΤΟΠΟΙ ΤΟΥ ΠΡΩΤΟΥ.

Τόποι δὲ τοῦ μὲν πρώτου, τὰ ὁπωσοῦν ἐνεργητικά, εἴτε

Primi ordi. trāsitiua cū accusatiuo. secundū maiorē actionē. ut honoro Socratē. Siue minorē. ut dico cōuenientia, & sapio uerisimilia. Videndū igit est, si ad corporalē affectionē pertineant. ut exerceo, moueo, lauo, percutio, corrūpo, soluo, ligo, irrigo, cōpello, tero, teneo, tōdeo, meto, uro. Siue ad aīm, & mores. amo, diligo, amo, iuste facio, offendo, lędo, ꝓsum, uitupero, discrutior, cōuitior. Itē laudatoria. laudo, decāto, cano, bñdico. Itē si ueneratiua. honoro, colo, intercedo, adoro, adulor, reuereor. Rursū si suspectiua, opinatiuaq́, aut cognitiua. ītelligo, iudico, noui, puto, suspicor. Siue electiua. uolo, eligo, uolo. ꝑterea si inq̄sitiua. indago, inq̄ro, īterrogo, inuestigo, inuenio. Itē si obtētiua. habeo, seruo, cogo, ꝓhibeo, ꝓpello, uinco. Itē si admonitiua. adhortor, prouoco, admoneo, ꝓmoueo, extimulo. Et si uocatiua. uoco, noīo, uoco. Itē si ad artificiū pertinēt. ędifico, coria paro, curo. Pręterea si ad deceptionē. seduco, decipio, fucū facio, furor, impono rationibus. Itē si doctrinalia, uel affectiua. instituo, castigo, suadeo, doceo, refrigero, calefacio, dispono. Itē si funebria. lugeo, ploro, lamētor, defleo, misereor. Rursum si ꝑcatiua. supplico, obsecro, supplico, rogo, cū idē qđ cōsolor, aduoluor genibus. Itē si cōtractuū significatiua. uēdo, auctionor, cōfero. Postremo si naturalia. ut gigno, & ꝓduco, & augeo. actō em̄ iuugunt huiusmodi.

Loci secundæ speciei.

Secūdi ord. transf. cum genitiuo. Secūdæ speciei aūt sunt per sensum apprehensiua. ut sentio, audio, tāgo, gusto, olfacio, amo, desydero. Atqui uideo actō iungitur, qđ manifeste actiuus sit uisus, maximeq́ penetret, & cętera his synonyma. aspicio, contemplor. Itē cogitatiua & possessiua. cogito, curo, parco, fruor, cōmunico, participo, memini. Et q̄ sunt principatus. rego, dñor, dñor, impero, impero, impero. Sint uero tanq̄ possessiua & hæc. Pręterea differētialia, & separatiua, & excessiua. differo, separo, abstineo, priuo, pecco.

Loci tertiæ speciei.

Tertij ordi. uerba cum datiuo. Quæ uero tertiæ speciei, acq̄sitiua sunt, & reacq̄sitiua. ut do, mitto, dico, gratulor, cōtradico, luctor, aduersor, dubito, pugno. Gñaliter aūt omne uerbū quodcunq́ fuerit,

tanquam

καὶ τὰ μείζω ἐνέργειαν. οἷον τιμῶ Σωκράτην. Εἴτε κατὰ ἐλάσσω. οἷον τὸ, λέγω τὰ δέοντα, καὶ φρονῶ τὰ εἰκότα. Σκοπεῖν οὖν εἰ ἐπὶ σωματικὴν διάθεσιν ἀναφέρεται. οἷον γυμνάζω, κινῶ, νύττω, πλήττω, φθείρω, δύω, δεσμῶ, βρέχω, βιάζομαι, τρίβω, κερῶ, κείρω, θερίζω, καίω. Ετι εἰ ἐπὶ ψυχήν τε, καὶ ἦθος. φιλῶ, ἀγαπῶ, στέργω, δικαιῶ, ἀδικῶ, βλάπτω, ὠφελῶ, ὑβρίζω, ἀνιῶ, λοιδορῶ. Ετι ἐπιδεικτικά. ἐπαινῶ, ἐγκωμιάζω, ὑμνῶ, ᾄδω, εὐλογῶ. Ετι εἰ σεπτικά. τιμῶ, σέβω, πρεσβεύω, προσκυνῶ, κολακεύω, αἰδοῦμαι. Ετι εἰ ὑπονοητικά, καὶ δοξαστικά, ἢ γνωστικά. νοῶ, κρίνω, οἶδα, οἴομαι, ὑφορῶμαι. Ετι εἰ προαιρετικά. βούλομαι, προαιροῦμαι, ἐθέλω. Ετι εἰ ζητητικά. ἐξετάζω, ἀνακρίνω, ἐρωτῶ, ἐρευνῶ, εὑρίσκω. Ετι εἰ ἐπικρατητικά. ἔχω, φυλάσσω, ἀναγκάζω, εἴργω, ἐλαύνω, νικῶ. Ετι εἰ προτρεπτικά. παρακαλῶ, ἐρεθίζω, προτρέπω, παρορμῶ, παροξύνω. Ετι εἰ κλητικά. φωνῶ, ὀνομάζω, καλῶ. Ετι εἰ ἐπιστημονικά. οἰκοδομῶ, σκυτοτομῶ, ἰατρεύω. Ετι εἰ διακρονστικά. πλανῶ, ἐξαπατῶ, φενακίζω, κλέπτω, παραλογίζομαι. Ετι εἰ διδασκαλικά, ἢ διαθετικά. παιδεύω, σωφρονίζω, πείθω, διδάσκω, ψύχω, θερμαίνω, διατίθημι. Ετι εἰ οἰκτικά. ὀδύρομαι, κλαίω, θρηνῶ, οἰκτίζω, ἐλεῶ. Ετι εἰ ἱκετευτικά. ἀντιβολῶ, ἱκετεύω, ἐκλιπαρῶ, λιτανεύω, ἐρωτῶ, ἐν ἴσῳ τὸ παρακαλῶ, γονοῦμαι. Ετι εἰ συμβολαίων σημαντικά. πωλῶ, ἀγοράζω, συμβάλλω. Ετι εἰ φυσικά. οἷον γεννῶ, καὶ φύω, καὶ αὔξω. αἰτιατικῇ γὰρ τὰ τοιαῦτα.

Τόποι τοῦ δευτέρου.

Τοῦ δὲ δευτέρου τὰ κατ' αἴσθησιν ἀναληπτικά. οἷον αἰσθάνομαι, ἀκούω, ἅπτομαι, γεύομαι, ὀσφραίνομαι, ἐρῶ, ἐπιθυμῶ. τὸ δὲ ὁρῶ, αἰτιατικῇ, διὰ τὸ ἐναργεστάτην εἶναι τὴν ὄψιν. καὶ ὅτι πλείον δίηκεν. καὶ τὰ τούτοις συνωνυμοῦντα, δρῶμαι, θεῶμαι. Καὶ τὰ φροντιστικά, καὶ κτητικά. φροντίζω, ἐπιμέλομαι, φείδομαι, ἀπολαύω, κοινωνῶ, μετέχω, μέμνημαι. Καὶ τὰ ἀρχικά. βασιλεύω, δεσπόζω, κυριεύω, τυραννῶ, ἄρχω, κρατῶ. Εἶεν δ' ἂν καὶ ὡς κτητικὰ τὰ τοιαῦτα. Καὶ τὰ διαφορικά, καὶ τὰ ἀποσκηματικά, καὶ ἐκστατικά. διαφέρω, χωρίζομαι, ἀπέχω, στέρομαι, ἁμαρτάνω.

Τόποι τοῦ τρίτου.

Τοῦ δὲ τρίτου τὰ περιποιητικά, καὶ ἀντιπεριποιητικά. οἷον δίδωμι, πέμπω, λέγω, χαρίζομαι, ἀντιλέγω, παλαίω, ἐναντιοῦμαι, ἀμφισβητῶ, μάχομαι. Καθόλου δὲ πᾶν ῥῆμα, ὅπως ἂν ἔχῃ

tanq̃ acquiſitiuũ licet accipere. Iuuo em̃ hoĩes, ſed & iuuo homines ciuitati, doceo iuuenẽ, ſed & doceo tibi iuuenẽ. Quemadmodũ etiã omne actionis inferioris actiuũ eſſe poterit. ut emi quæcunq; opus erant homini, uſus ſum in multis uiro. iuui libenter in his, quantũ potui. Sumatur quoq; tanq̃ acquiſitiuum & ſeruio, & credo, & ſubſeruio, & ſequor, & pareo, & ſimilia.

De compoſitis.

Manifeſtũ aũt ex his, quo nã pacto cõpoſitis utamur. Siquidẽ ex dictis ſimpliciter cõponentes, prout uſus ſententiaq; exegerint, loquemur.

Tranſitiue.

Aut trãſitiue, ſi opus fuerit (q̃ in actione eſt) re. ut iuuo homines pro uirili mea, erogo pecunias uiro pauperi.

Cauſaliter.

Aut cauſaliter & defectiue, ſi opus fuerit cauſa, ex qua actus. ut laudo Socratẽ ob uirtutẽ, emo frumentũ ſtateribus tribus, impertior tibi ẽ ſuperfluo.

Inſtrumentaliter.

Ariſtophanicum. Aut inſtrumẽtaliter, ſi uñ actionis motus, dicere oportet. ut per inuidiã nõ laudat Cleo honeſta.

Finaliter.

Aut finaliter, ſi alicuius cauſam oportet addere. ut cõſtituo te ducẽ aliorũ.

Specialiter.

Aut ſpecialiter, ut ſi, quid fiat, ſignificandum uidetur. ut ait regios ueniſſe.

Defectiue.

Aut defectu huius p̃poſitiõis κατὰ, qđ liquebit ex locorũ expoſitione.

Finalis.

Loci uero finalis, ubi ut cõgruit. ut conſtituo te, ut dux ſis aliorum.

Specifici.

Specifici uero ubi quòd. aiunt quòd uenerũt, qui aſtãt regi.

Defectiui.

Defectiui aũt ſecũdi, ubi tp̃is oſtẽdere oportet q̃titatẽ. ut uixit annos multos. Aut qđ ab eadẽ agẽte perſona, & patiente pẽdet. ut cõſumis coĩa, tuã partẽ. Aut ſcđm qd. ut unũ pariunt plerunq; fœminæ, & ſapiens in mechanicis. Aut cauſam, qđ nõ oĩno eſt inſtrumẽtali diſſimile. ut

καὶ ὡς περιποιητικόν ἐστι λαμβάνειν ταυτό. ὠφελῶ γάρ τοι ἀνθρώπους. ἀλλὰ καὶ ὠφελῶ ἀνθρώπους τῇ πόλει, διδάσκω τὸν νέον, καὶ διδάσκω σοι τὸν υἱόν. ὥσπερ ἄρα καὶ πᾶν εἴη ἂν ἐνεργείας ἐλάσσονος ἐνεργητικόν. * ὠνάμην ὁπόσα * εἴδει τἀνδρός, ἐχρησάμην πάμπολλα τῷ ἀνδρί, ὠφέλησα προθύμως τὰ δυνατά. εἰλήφθω δὲ καὶ ὡς περιποιητικὸν καὶ τὸ δουλεύω, πιστεύω, καὶ ὑπηρετῶ, καὶ ἀκολουθῶ, καὶ εἴκω, καὶ τὰ ὅμοια. * ὠνήμην for. ei εἶδει.

Περὶ συγκειμένων.

Δῆλον δ' ἐκ τούτων καὶ ὅπως τοῖς συγκειμένοις χρησώμεθα. ἐκ γὰρ τῶν εἰρημένων ἁπλῶς συνθέντες, ὡς ἂν τὰ παρὰ τῆς χρείας, καὶ διανοίας ἀπαιτῇ, φθεγξόμεθα.

Διαβατικῶς.

Ητοι διαβατικῶς εἰ δεῖ τοῦ κατ' ἐνέργειαν πράγματος. οἷον ὠφελῶ ἀνθρώπους τὰ δυνατά, παρέχομαι χρήματα ἀνδρὶ πένητι.

Αἰτιολογικῶς.

Η αἰτιολογικῶς καὶ ἐλλειπτικῶς. εἰ δεῖ τῆς αἰτίας ἐξ ἧς ἡ ἐνέργεια. οἷον ἐπαινῶ Σωκράτην τῆς ἀρετῆς, ὠνοῦμαι πυροὺς στατήρων τριῶν, μεταδίδωμί σοι τοῦ περιόντος.

Οργανικῶς.

Η ὀργανικῶς. εἰ ὅθεν ἡ κατ' ἐνέργειαν κίνησις, φᾶναι δέοι. οἷον φθόνῳ οὐκ ἐπαινεῖ Κλέων τὰ καλά.

Τελικῶς.

Η τελικῶς. εἰ τὸ οὗ ἕνεκα δέοι προσθεῖναι. οἷον τάττω σε προηγεῖσθαι τῶν ἄλλων.

Εἰδικῶς.

Η εἰδικῶς. εἰ τὸ καθ' ὃ σημᾶναι δοκεῖ. οἷον, φησὶ τοὺς περὶ τὸν βασιλέα ἐληλυθέναι.

Ελλειπτικῶς.

Η ἐλλειπτικῶς τῆς κατά. δῆλον δ' ἐκ τῆς τῶν τόπων ἐκθέσεως.

Τοῦ τελικοῦ.

Τόποι δὲ τοῦ τελικοῦ, ἔνθα τὸ ἵνα ἁρμόττει. οἷον τάττω σε, ἵνα προηγῇ τῶν ἄλλων.

Τοῦ εἰδικοῦ.

Τοῦ δὲ εἰδικοῦ, ἔνθα τὸ ὅτι. φασὶν ὅτι ἐληλύθασιν. οἱ περὶ τὸν βασιλέα.

Τοῦ ἐλλειπτικοῦ.

Τοῦ δὲ ἐλλειπτικοῦ δευτέρου. ἔνθα χρόνου δηλῶσαι δέοι ποσόν. οἷον ἔζησεν ἔτη πολλά. Η τὸ ἀπ' αὐτοῦ τοῦ ἐνεργοῦντος προσώπου καὶ πάσχοντος. οἷον φθείρεις τὰ κοινά, τὸ σὸν μέρος. Η τὸ κατά τι. οἷον ἓν τίκτουσι τὰ πολλὰ αἱ γυναῖκες, καὶ σοφὸς τὰ μηχανικά. Η τὸ αἴτιον οὐ πάνυ τοι τῷ ὀργανικῷ ἀνομοίως. οἷον

omnia autẽ hęc ſcripſit ſecundũ prædictum modũ, ut in librum redigi poſſent.

Loci cauſalis, & defectiui.

Subijciẽdi uero ſunt & cauſalis, & defectiui loci huiuſmodi, ut cõſyderemus ſi permutatiue & licitatiue. emo. uẽdo, muto, licitor. Præterea repletiue. impleo, repleo, euacuo. Itẽ diſcretiue, & ſeparatiue, & amotiue, ac prohibitiue. denudo, libero, recedo, abſoluo, ueto, remitto, permitto, cõcedo, leuo, obtũdo, attollo, circũfero, fallo. Rurſum ſi demõſtratiue, & ob uirtutẽ receptiue. laudo, admiror, beatifico, ęmulor, excipio. Itẽ ſi materialiter, & participatiue. cõico, participo, impartior, dignor. Et an amatorie, ſeu cõmiſeratiue. amo, diligo, miſereor, miſereor. Gñaliter uero qđ circa cauſam deficit. accuſo te ingratitudinis, arguo te calũniæ, criminor te furti. Itẽ ſi per negationẽ tẽporis præteriti perf. opus fuerit, quantũ trãſierit, definire. nõ ueni, nõ uidi, nõ dixi à tẽpore multo. Et ſi inſtitiſſe, & propè cõtigiſſe quicq̃ demõſtrare oportebit. parũ abfuit. quin uenirẽ, propemodũ effugiſſem. Itẽ ſi à parte. ut ſuſpendo te pede, bibo aquã, decerpo flores. Præterea ſi tẽpore definito opus fuerit. dieq́ꝫ & nocte operatur, ue ſperi uenit, hyeme & uere uẽtres calidi ſunt. Manifeſtum ergo quod idẽ uerbũ acceptũ uarijs modis, diſcrepat à ſe ipſo, id quod eſt, & diuerſis modis p̃dicatur ac cõſtruitur. ut ſoluo corporale quidẽ, q̃tenus opus eſt corporali actu ſoluenti. diſcretiuũ, quatenus ſolutũ eximitur à uinculo. Conſimili modo in cęteris conſyderandũ eſt, & ad intellectum ſemper conſtruendum.

Exẽplũ ex Hippocrate 1. Apho. lib. a.

Paſſiuum.

De paſſiuo ex conſtructione.

Manifeſtũ autẽ quod paſſiuũ totidẽ modis, quot actiuũ, cõſtruiť, cõiter quidẽ à fronte noĩatiuũ habẽs, peculiariter uero à tergo gtm̃ ſimul cum à uel ab, uel ſimilibus ut dictũ eſt, conuerſis extremis. Socrates amat Phædrũ, Phædrus amať à Socrate, & docetur ab eodẽ. Fit plerũq́ꝫ etiã ex quarto loco coincidẽtia caſuũ. p̃terq̃ in uerbis uocandi. quæ ſic cũ recto proferũtur. uocor Socrates. Dicimus igitur. liber uenditur à Coriſco ſtateris multis, aurũ

datur

πάντα δὲ ταῦτα γέγραφε τὸν εἰρημένον τρόπον, ὡς ἂν εἰς βυβλίον καταθοῖτο.

Τόποι τοῦ αἰτιολογικοῦ, καὶ ἐλλειπτικοῦ.

Υποκείσθωσαν δὲ καὶ τοῦ αἰτιολογικοῦ, καὶ ἐλλειπτικοῦ τόποι τοιοίδε, σκοπεῖν εἰ ἀνταλλαγματικῶς, καὶ ἀποτιμητικῶς. ὠνοῦμαι, πωλῶ, ἀλλάττω, ἀποτιμῶ. Ετι εἰ πληρωτικῶς. γεμίζω, πληρῶ, κενῶ. Ετι εἰ διαιρετικῶς τε, καὶ ἀφοριστικῶς, καὶ ἐκστατικῶς, καὶ ἐφεκτικῶς. γυμνῶ, ἀπαλλάττω, ἀφίστημι, ἀπολύω, κωλύω, ἀναστέλλω, συγχωρῶ, ὑπείκω, κουφίζω, ἀμβλύνω, καθαίρω, περιαιρῶ, ψεύδω. Ετι εἰ ἐπιδεικτικῶς, καὶ εἰς ἀρετὴν ἀποδεκτικῶς. ἐπαινῶ, θαυμάζω, εὐδαιμονίζω, ζηλῶ, ἀποδέχομαι. Ετι εἰ μετουσιαστικῶς τε, καὶ μεταδοτικῶς. κοινωνῶ, μετέχω, μεταδίδωμι, ἀξιῶ. Ετι εἰ φιλικῶς, ἢ οἰκτικῶς. φιλῶ, ἀγαπῶ, ἐλεῶ, οἰκτείρω. Καθόλου δὲ τὸ περὶ τὴν αἰτίαν ἐλλεῖπον. μέμφομαί σοι ἀχαριστίας, αἰτιῶμαί σε διαβολῆς, κατηγορῶ σου κλοπῆς. Ετι εἰ ἀποφάσει χρόνου παρήκοντος ἐντελοῦς δέοι, πόσον χρονικὸν προσορίσασθαι. οὐκ ἦλθον, οὐκ εἶδον, οὐκ εἶπον χρόνου πολλοῦ. Ετι εἰ τὸ ἐγγὺς τοῦ γενέσθαι, καὶ παρὰ μικρὸν συμβεβηκέναι τι δηλῶσαι δέοι. μικροῦ παρῆλθον, μικροῦ διέφυγεν. Ετι εἰ ἀπὸ μέρους. οἷον κρεμῶ σε τοῦ ποδός, πίνω τοῦ ὕδατος, δρέπομαι τῶν ἀνθέων. Ετι εἰ καιροῦ ὡρισμένου χρεία. οἷον ἡμέρας τε, καὶ νυκτὸς ἐργάζεται, ἑσπέρας ἥκεν, χειμῶνος καὶ ἔαρος αἱ κοιλίαι θερμαί εἰσι. Φανερὸν οὖν καὶ ὡς τὸ αὐτὸ ῥῆμα λαμβανόμενον διαφόρως, διοίσει τε ἑαυτοῦ τῷ εἶναι, καὶ διαφόρως προσαγορευθήσεται, καὶ συντάξεται. οἷον τὸ λύω σωματικὸν μὲν, ἢ δεῖ σωματικῆς ἐνεργείας τῷ λύοντι. διαιρετικὸν, ἢ τὸ λυόμενον γίνεται ἔξω δεσμοῦ, παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων θεωρητέον, καὶ πρὸς τὸ ἐπινοούμενον αἰεὶ συντακτέον.

Παθητικόν.

Τὸ δὲ παθητικὸν δῆλον ὅτι ὁσαχῶς καὶ τὸ ἐνεργητικὸν συντάξεται, κοινὸν μὲν τὴν ἐκ πρώτου ὀνομαστικὴν ἔχον. ἴδιον δὲ τὴν ἐκ τρίτου γενικὴν ὁμοῦ τῇ ὑπὸ, ἢ τῇ πρὸς, ἢ τοῖς ἴσοις, ὡς εἴρηται ἀντεστραμμένως τοῖς ἄκροις. Σωκράτης φιλεῖ φαῖδρον, φαῖδρος φιλεῖται ὑπὸ Σωκράτους, καὶ διδάσκεται πρὸς αὐτοῦ. κοινὸν οὖν καὶ τὸ ἐκ τετάρτου καὶ ὁμοιόπτωτον, πλὴν ἐπὶ τῶν κλητικῶν, ταύτῃ γὰρ πρὸς εὐθεῖαν. καλοῦμαι Σωκράτης. λέγομεν οὖν. βυβλίον πωλεῖται ὑπὸ Κορίσκου στατήρων πολλῶν, χρυσίον

διδόται

datur à diuite pauperi. Peculiaris uero admodũ est passiuo synecdochica constructio. ut percutior pedem, doleo caput.

Neutrum substantiue.

Verbi τῆς ὑπάρξεως cõstructio. Ex neutris aũt quod substantiuũ est, cum ntõ à tergo construit. ut Socrates est, uel existit albus. Quãuis existit melius noĩatiuũ participij à tergo regat. Socrates existit ens bonus. Quod si particip. substãtiui nõ sit, nullo opus erit in quarto. Perfecte eñ dicimus: Socrates est ambulans, uel differẽs. Reliqua aũt cõmunia cũ actiuo habet.

Possessiue.

Neutra possessiua. Ab his uero q̃ per immiss. ac possess. dicunt, tertij ord. gtũs regit. indigeo, disto, repleo, egeo, indigeo, abũdo, sum expers, fruor, delitior, oleo.

Instrumentaliter.

Neutra instrumẽtalia. Onero uero, & ualeo instrumẽtaliter cum dtõ, & uniuersaliter absoluta, si placet addere. ut uigilo, & uigilo, & uiuo, & ditesco uirtute, uel per uirtutẽ. uel utcũq; aliter cõtigerit exprimere causam. Verũ acqsitiua cũ dtõ. con tingo, adsum, cedo, cedo. Cõsimiliter uero & reliqua ordinãda, secundũ cõiter dicta.

Per se passiuum.

Neutra per se passiua. Per se aũt passiuũ, neutrũ quoq; & ipsum est, ueluti nõ trãsformatũ per μαι ad passiuã significationẽ. Nã quod per se passiuũ uocet, ex parte sumptũ est, quatenus passionẽ ex seipso significat, & in diuisione opponit oĩno actiuo, ac per se neutro. ut patior, corrũpo, pereo, doleo, horreo, febricito, erubesco, ęgroto, morior, & similia. Cõstructio aũt huius eadẽ cum passiuis, uti par est. ut patior ab agẽte, tabescit à corrũpẽte. Et qđ ex eo est, uel in quo, uel per quod, & oĩno qđ causam refert, cõe est. Itẽ accessiua, & synecdochica cõstructio. patior hæc, & ęgroto ęgritudinem, & doleo caput.

Omnino actiuum.

Cæterum omnino actiuũ appellatũ, cum accusatiuo uult construi. ut fugio, & lateo, & abscondo, & differo, & impello, & uolo, & ascendo.

Per se neu

δίδοται πρὸς τῷ πλουτοῦντος τῷ πένητι. ἴδιον δὲ μάλιστα τοῦ παθητικοῦ τὸ συνεκδοχικὸν τῆς συντάξεως. οἷον πλήττομαι τὸν πόδα, ἀλγῶ τὴν κεφαλήν.

Οὐδετέρων ὑπαρκτικῶς.

Τῶν δὲ οὐδετέρων τὸ μὲν ὑπαρκτικὸν ὀνομαστικῇ ἐκ τρίτου συντάσσεται. Σωκράτης ἐστὶν, ἢ τυγχάνει λευκός. τὸ γε μὴν τυγχάνει βέλτιον εἰς εὐθεῖαν μετοχικὴν ἐκ τρίτου. Σωκράτης τυγχάνει ὢν ἀγαθός. ἣν δὲ ἡ μετοχὴ μὴ ὑπαρκτικοῦ ᾖ, οὐδενὸς δεῖ ἐκ τετάρτου. ἐντελῶς γὰρ φαμὲν, Σωκράτης τυγχάνει περιπατῶν, ἢ διαλεγόμενος. τἄλλα δὲ κοινὰ πρὸς τὸ ἐνεργητικόν.

Κτητικῶς.

Τῶν τε οὖν κατ' ἐσπομπὴν τε, καὶ κτῆσιν, ἡ ἐκ τρίτου γενική. χρήζω, δέχω, πληθύω, δέω, ἀπορῶ, εὐπορῶ, ἀμοιρῶ, ἀπολαύω, τρυφῶ, ὄζω.

Ὀργανικῶς.

Βρίθω δὲ καὶ εὐσθενῶ, ὀργανικῶς δοτικῇ. καὶ ὅλως τῶν ἀπολελυμένων ἃ δοκεῖ προσιθέναι. οἷον ἀγρυπνῶ, καὶ γρηγορῶ, καὶ ζῶ, καὶ πλουτῶ ἀρετῇ, ἢ δι' ἀρετήν. ἢ ὅπως ἂν ἄλλως ἐγχωρῇ φράζειν τὸ αἴτιον, Τῶν δὲ περιποιητικῶν, ἡ δοτική. συμβαίνω, ὑπάρχω, ὑποχωρῶ, εἴκω. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν συντακτέον, κατὰ τὰ κοινῇ εἰρημένα.

Αὐτοπαθητικόν.

Τὸ δ' αὐτοπαθητικὸν οὐδέτερον μέν τοι καὶ αὐτὸ, ὡς μὴ μετασχηματιζόμενον τῇ μαι εἰς παθητικὴν σημασίαν. αὐτοπαθητικὸν δὲ κληθὲν ἀνὰ μέρος εἴληπται, ἢ πάθος ἀφ' ἑαυτοῦ τυγχάνει δηλοῦν. καὶ ἀντιδιαιρούμενον τῷ ὁλοενεργητικῷ, καὶ τῷ αὐτουδετέρῳ. οἷον τὰ, πάσχω, φθίνω, ἔῤῥω, ἀλγῶ, φρίττω, πυρέττω, ἐρυθριῶ, νοσῶ, ἀποθνήσκω. καὶ τὰ ὅμοια. Σύνταξις δὲ τοῦ τοιούτου ἡ αὐτὴ τοῖς παθητικοῖς, ὡς εἰκός. πάσχει ὑπὸ τοῦ ποιοῦντος, φθίνει ὑπὸ τοῦ φθείροντος. Τὸ δ' ἐκ τοῦ, καὶ καθ' ὃ, καὶ δι' ὃ, καὶ ὅλως τὸ αἰτιολογικὸν, κοινόν. καὶ ἔτι τὸ ἐπιβατικὸν, καὶ τὸ συνεκδοχικὸν τῆς συντάξεως. πάσχω ταῦτα, καὶ νοσῶ νόσον, καὶ ἀλγῶ τὴν κεφαλήν.

Ὁλοενεργητικόν.

Τὸ δὲ ὁλοενεργητικὸν τὴν πρὸς αἰτιατικὴν βούλεται σύνταξιν. οἷον φεύγω σε, καὶ λανθάνω, καὶ κρύπτω, καὶ παραλλάττω, καὶ παρελαύνω, καὶ θέλω, καὶ ἀναβαίνω.

Per se neutrum.

At per se neutri eadē etiā cōstructio cum absolutis est. Absolutū nāq;, & quod hmōi. ut uiuo, ditesco, ualeo. Manifestū ergo est secūdū diuersas horū uirtutes, & usus, cōstructionē accōmodandā esse ad subiecta. ut ascēdo mōtem, curro ad forū. Sed & curro stadiū. Alterū quidē imperfecte, alterū uero omnino actiue.

Medium.

Mediorum uerborū cōstructio. Medijs aūt, siue cōmunibus eadem cōstructio est, quę actiuis, & passiuis. Siquidē ambobus inseruiunt affectibus. sacrifico igitur deo, & sacrificor ab alio deo. lędo inimicū, & lędor ab inimico. Et generaliter secundū pręscriptas species, & formandū, & cōstruendū est. laudabo uirtutem, uti par est, & laudabor ab amico.

Plusquàm medium.

Verbū uero plusq̄ mediū id quod per se actiuū est, eādem cū actō constructionē habet, qñdoquidē & significatiuū actionis est. Quod aūt oīno passiuū, eandē quoq; cū passiuo. Actiuæ em̄ expers existens (usitatæ qdē uocis) passiue significat quiddā passiuū. fio, pereo, dormio.

Loci plusquàm medij.

Cōsyderandū & de plusq̄ medio hoc, si acq̄sitiuū, uel repugnatiuū, aut aduersatiuū. Nā hęc cū dtō, ut ea q̄ sunt tertij ordinis, cōstruunt. utor, delector, equito, pugno, certo, aduersor, irascor, obsisto. Rursum si dominij, ac possessionis significatiuū, cum actō em̄, ut q̄ sunt primi ordinis. possideo, emo, imitor. Præterea an imperfectū, postulat em̄ id ad qd', uel in quo fiat mo. ut in neutris dictū est. uado Athenas, ibā ad deū, sedeo, uel iaceo hic. Itē num per sensum apphensiuū, aut aliter susceptiuū per excellentiā, aut appetitū. Nā cū gtō hęc, ut q̄ secūdi ordinis. attingo, olfacio, gusto, appeto, cupio, abstineo, contraaccuso, sursum. *Aristopha. Pluto.* Coīs em̄ causę usus ubiq; ꝑpter quid, ad qd, ut & quomodocūq; aliter loquendū uidebitur.

Impersonale.

Eorū aūt q̄ impersonalia appellant, quia nō exhibeāt personā, quædā per se iacent, nequaquā alteri coniungi nata,

Αὐτουδέτερον.

Τοῦ δὲ αὐτουδετέρου, ἡ αὐτὴ σύνταξις τοῖς ἀπολελυμένοις ἐστίν. ἀπολελυμένον γάρ τοι καὶ τὸ τοιοῦτο. οἷον ζῶ, πλουτῶ, ὑγιαίνω. Δῆλον οὖν ὅτι πρὸς τὰς διαφόρους τῶν αὐτῶν δυνάμεις, καὶ χρήσεις τὴν σύνταξιν ποιητέον, κατὰ τὰ ὑποτεθέντα. ἀναβαίνω τὸ ὄρος, τρέχω ἐπὶ τὴν ἀγοράν. ἀλλὰ καὶ τρέχω τὸ στάδιον. τὸ μὲν ἀτελῶς. τὸ δὲ ὁλοενεργητικῶς.

Μέσον.

Τῶν δὲ μέσων εἴτ' οὖν κοινῶν, ἡ αὐτὴ σύνταξις, καὶ αὐτῶν τοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς. ἀμφοτέραις γὰρ ἐφαρμόζει ταῖς διαθέσεσι. θύομαι οὖν τῷ θεῷ, καὶ θύομαι ὑφ' ἑτέρου τῷ θεῷ. βιάζομαι τὸν ἐχθρόν, καὶ βιάζομαι ὑπὸ τοῦ ἐχθροῦ. Καὶ ὅλως κατὰ τὰ διωρισμένα εἴδη σχηματιστέον καὶ συντακτέον. ἐπαινέσομαι ἀρετὴν τὰ εἰκότα, καὶ ἐπαινέσομαι ὑπὸ τοῦ φίλου.

Επίμεσον.

Καὶ τοῦ ἐπιμέσου δὲ τὸ μὲν αὐτοενεργητικὸν τὴν αὐτὴν τῷ ἐνεργητικῷ σύνταξιν ἔχει. ὡς καὶ αὐτὸ σημαντικὸν ἐνεργείας ὄν. Τὸ δὲ ὁλοπαθητικόν, τὴν αὐτὴν τῷ παθητικῷ. ἐνεργητικῆς γὰρ ἀμοιροῦν (εὐχρήστου γε προφορᾶς) παθητικῶς σημαίνει τι παθητικόν. γίνομαι, οἴχομαι, κοιμῶμαι.

Τόποι ἐπιμέσου.

Σκοπεῖν δὲ καὶ περὶ τοῦ ἐπιμέσου τοῦ δέ, εἰ περιποιητικόν, ἢ ἀντιστατικόν, καὶ ἐναντιωματικόν. Ταῦτα γὰρ δοτικῇ ὡς τὸ τρίτον. χρῶμαι, ἥδομαι, ἱππάζομαι, μάχομαι, ἀγωνίζομαι, ἐναντιοῦμαι, ὀργίζομαι, ἀνθίσταμαι. Ετι εἰ ἐπικρατείας σημαντικόν. αἰτιατικῇ γὰρ ὡς τὸ πρῶτον. κέκτημαι, ὠνοῦμαι, μιμοῦμαι. Ετι εἰ ἀτελές. ἀπαιτεῖ γὰρ τὸ εἴς τι, ἢ ἔν τινι, ὡς ἐπὶ τῶν οὐδετέρων ἐλέχθη. πορεύομαι ἀθήναζε, ᾠχόμην ὡς τὸν θεόν, κάθημαι, ἢ κεῖμαι ἐνταυθοῖ. Ετι εἰ κατ' αἴσθησιν ἀναληπτικόν, ἢ ἄλλως ἀντιληπτικόν, καθ' ὑπεροχήν, ἢ ὀρεκτικόν. Γενικῇ γὰρ ταῦτα ὡς τὸ δεύτερον. ἅπτομαι, ὀσφραίνομαι, γεύομαι, ὀρέγομαι, ἐφίεμαι, περιέχομαι, ἀντιλαμβάνομαι, περιγίνομαι. Κοινὸν δὲ ἡ τοῦ αἰτίου χρῆσις ἁπανταχοῦ, διὸ ὃ ἐφ' ὅ. ἵνα καὶ ὅπως ἂν ἄλλως φράζειν ᾗ πρὸς τὰ δόξαντα.

Απρόσωπον.

Τῶν δ' ἀπροσώπων ὀνομαζομένων, διὰ τὸ μὴ παριστάναι πρόσωπον, τὰ μὲν καθ' αὑτά, κεῖται, ἥκιστα πρὸς ἕτερον συντάττεσθαι

 πεφυκότα,

nata, tanq̃ passiua. dicit, dictũ est, relinquit, sacrificatur, dictũ sit, & similia. nisi sumant acquisitiue. ut auditũ est mihi, & cognitũ est mihi. uel tanq̃ passiua. auditũ est ab illis.

Possessiuum.

Quædã uero ad aliud, uel possessiue, uel acqsitiue, uel trãsitiue. Itaq; possessiuũ cũ gtõ, & simul cũ dtõ acqsitiue. cõmunio est huius mihi. refert, curæ est, oportet, uel conuenit huius mihi.

Acquisitiuum.

Demosthenicum. Acquisitiuũ autẽ cum infinitiuo, & datiuo. uti par est, licet, contingit, decet, uidetur senatui, & populo mittendos esse legatos.

Accessiuum.

Accessiuũ cum solo infinitiuo. oportet dicere, oportet capere, licet esse, solet fieri, oportet dicere. Cõmune est igitur & hic uerbum infinitiuũ, sed uel prę̨teriti, uel p̃sentis, futuri uero nunquàm.

Resolutio uerbi.

Porrò fit simpliciter resolutio uerborũ in cognatũ nomẽ, uel participiũ, & in eiusdẽ formæ substãtiuũ, idq; uel per ntm̃, uel per gtm̃. ut Lycij simul pugnabãt cũ Troianis, auxiliares Troianis erãt, ex auxiliaribus erãt, auxiliares erãt, ex auxiliãtibus erãt. Impleo, plenus fio, ex his, quæ replẽtur, sum. Et quidem ita hæc.

M O D V S.

Definitio modi. Cę̨terũ accidentiũ uerbo modorũ definitio hę̨c quidẽ est. uoluntas, siue affectus animi per uocẽ significatus.

Indicatiuus.

Indicatiui constructio. Vocatur aũt definitiuus, siue indicatiuus, p̃prie tñ definitiuus, qm̃ per hũc indicãtes, definimus. Atq; hinc sanè fit, ut quæ uocãtur affirmatiuæ cõiunctiões, quę insuper causales, coaptẽt huic modo. scripsi dico, quòd scripsi. & quòd ambulo, moueor. Habẽt em̃ uerba indicatiua sibi affirmationẽ innatã, quãobrẽ & negãdi aduerbiũ est conueniẽs talibus, ut subsistentẽ affirmationẽ remoueat. nõ scribo. Minime aũt imperatiuis, uel optatiuis, uel subiũc. q̃q̃ prohibitiuũ ne, sit illis peculiare. Et igitur dicimus. ne

cognosce

πεφυκότα, οἷον τὰ παθητικά. λέγεται, εἴρηται, λέλειπται, θύεται, εἰρήσθω, καὶ τὰ ὅμοια. Πλὴν εἰ μὴ περιποιητικῶς. οἷον ἤκουσαί μοι, καὶ ἔγνωσαί μοι. καὶ ὡς τὰ παθητικά. ἤκουσαι ὑπ' ἐκείνων.

Κτητικόν.

Τὰ δὲ πρός ἕτερον, ἢ κτητικῶς, ἢ περιποιητικῶς, ἢ ἐπιβατικῶς. Τὸ μὲν οὖν κτητικῶν εἰς γενικὴν καὶ ἅμα δοτικὴν περιποιητικῶς. μέτεστι τούτου ἐμοί, διαφέρει, ἢ μέλει, ἢ δεῖ, ἢ προσήκει τούτου ἐμοί.

Περιποιητικόν.

Τὸ δὲ περιποιητικὸν, εἰς ἀπαρέμφατον, καὶ δοτικὴν. ὡς ἔξεστι, ἔξεστι, συμβαίνει, προσήκει, πρέπει, δοκεῖ τῇ βουλῇ, καὶ τῷ δήμῳ πέμψαι πρέσβεις.

Επιβατικόν.

Τὸ δ' ἐπιβατικὸν, εἰς ἀπαρέμφατον μοναχῶς. δεῖ φάναι, χρὴ λαβεῖν, ἐνδέχεται εἶναι, φιλεῖ γενέσθαι, δεῖ εἰπεῖν. Κοινὸν δὴ οὖν κἀνταῦθα τὸ ἀπαρέμφατον, ἀλλ' ἢ παρῳχημένου, ἢ ἐνεστῶτος, μέλλοντος δὲ οὐδέποτε.

Ανάλυσις ῥήματος.

Ανάλυσις δ' ἁπλῶς τῶν ῥημάτων εἰς τε τὸ σύστοιχον ὄνομα, ἢ τὴν μετοχὴν, καὶ εἰς τὸ ὁμοειδὲς ὑπαρκτικὸν, καὶ ἢ κατ' εὐθεῖαν, ἢ κατὰ γενικήν. οἷον Λύκιοι συνεμάχουν τοῖς Τρωσίν, σύμμαχοι τοῖς Τρωσὶν ἦσαν, τῶν συμμάχων ἦσαν, συμμαχοῦντες ἦσαν, τῶν συμμαχούντων ἦσαν. πληροῦμαι, πλήρης γίγνομαι, τῶν πληρουμένων εἰμί. Καὶ δὴ οὕτω τὰ λοιπά.

ΕΓΚΛΙΣΙΣ.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι ἐγκλίσεων, λόγος μέν. βούλημα, εἴτ' οὖν πάθημα ψυχῆς διὰ φωνῆς σημαινόμενον.

Οριστική.

Καλεῖται δὲ ἡ ὁριστικὴ, καὶ ἀποφαντικὴ, ἰδίως μέν τοι ὁριστική. ὅτι διὰ ταύτης ἀποφαινόμενοι ὁριζόμεθα. ὅθεν δὴ καὶ οἱ καλούμενοι διαβεβαιωτικοὶ σύνδεσμοι, καὶ προσέτι οἱ αἰτιολογικοὶ τείνουσιν ἐπὶ ταύτην. γέγραφα λέγω, ὅτι γέγραφα. καὶ ὅτι περιπατῶ, κινοῦμαι. ἔχει δὲ τὰ ὁριστικὰ σφίσι τὴν κατάφασιν ἐγκειμένην. διὸ καὶ τὸ ἀποφατικὸν ἐπίρρημα κατάλληλον τοῖς τοιούτοις, ἵνα τὴν ἐνοῦσαν κατάφασιν ἀποστήσῃ. οὐ γράφω. οὐ μὴν δὲ καὶ τοῖς προστακτικοῖς, ἢ εὐκτικοῖς, ἢ ὑποτακτικοῖς. τὸ μέν τοι ἀπαγορευτικὸν μὴ τοῖς τοιούτοις οἰκεῖον. καὶ οὖν λέγομεν. μὴ

cognosce, ne noscas, ne noueris. Sed neq; infinitiuis non coniungitur. Nihil em̃ hæc affirmãt. Cum uero abijcit indicatiuus inexistentẽ affirmationẽ, non uocetur indicatiuus. nempe in interrogationẽ transit. num scribis?

Imperatiuus.

Imperatiui constructio. Imperatiuũ autẽ liquet posse construi cum secũdis personis, etiã si uoce cõueniat cum indicatiuis. Nam & adiecti uocatiui, atq; annexũ illi aduerbiũ age, remouent ambiguitatẽ. Cęterũ primas personas nõ imperatiuas, sed *Prima imperatiui pſona* sibiịpsis suggestiuas plurimi uocant. Videtur em̃ modus confundi, & duo modo in unũ incidere. Nam q̃m neq; alloquimur nos ipsos, neq; mandamus nobis ipsis, suggerimus inductiua quędã huiusmodi, & sanè cõprehẽsiua, q̃ ut declinent in secũda persona mandatũ, cõprehensionem recipiũt in primã eam, q̃ est suggestiua. Itaq; q̃ deest imperatiuis prima persona, & q̃ itẽ desunt suggestiuis secunda, & tertia, in unũ contrahunt duos modos, ita, ut uterq; cõpleatur. Nam tertia persona imperatiui mandatum ad absentẽ personã manifestat, secunda necessario assumpta ad traditionẽ mandati. Tanq̃ enim non cõstet mandatũ huiusmodi sine secunda.

Optatiuus.

Optatiui cõstructio. Porrò optat. ab ea quę fit optione nomẽ sortitus est, & aduerbia habet. utinã, utinã, q̃ optatiuis ad maiorẽ intensionẽ apponũtur. At indicatiuis necessario. utinã scripsissem. nẽpe ut indicatiuus optatiuã recipiat cõstructionẽ. *Optandi aduerbia.* Hoc enim interest inter uerba optatiua, & optãdi aduerbia, quod uerba quidẽ cum subsistẽte re, optãdi significẽt affectũ. Siquidẽ scriberẽ, optationẽ explicat actus qui est *εἴθε.* scribere. & orarẽ illius, qui orare. Cęterũ εἴθε q̃si denoĩatio est optãdi. Non em̃ illud cõplectitur, ad quod tẽdit optio. queadmodũ scilicet unus differt ab homo, quatenus hæc dictio unus denoĩatio est solius numeri, homo uero cum hoc, qđ cõem substantiã significet, subsistẽs illi cõplectit unus. Similiter uero & ego ad scribo se habet. & aliũde ad ab Ilio. & celerrimus qđẽ tanq̃ intẽsionẽ in subiecto significat. nõ itidẽ tñ hęc dictio nimis, qppe qđ solũ intensionis

est deno

γίνωσκε, μὴ γνοίης. μὴ γνῶς. οὐ μὴν ἀλλ' οὐδὲ τοῖς ἀπαρεμφάτοις τὸ εὖ συντάσσεται. οὐθὲν γὰρ οὐδ' αὐτὰ καταφάσκει. ἀποβαλλούσαγε μὴν ἡ ὁριστικὴ τὴν ἐνοῦσαν κατάφασιν, οὐκέτι ἂν καλοῖτο ὁριστική. εἰς γὰρ ἐπερώτησιν μετέπεσεν. ἆρα γράφεις;

Προστακτική.

Ἡ δὲ προστακτική, εὔδηλον ἂν ἔχοι τὴν σύνταξιν τῶν δευτέρων προσώπων, κἂν ὁμόφωνα ᾖ τοῖς ὁριστικοῖς. ἥτε γὰρ σύνταξις κλητική, τό, τε συνταττόμενον πρόσρημα τὸ ἄγε, ἀφίστησι τὴν ἀμφιλογίαν. τὰ δὲ πρωτοπροσωποῦντα οὐ προστακτικά, ἀλλ' ἀνθυπότακτα οἱ πλεῖστοι καλοῦσιν. ἔοικε δὲ τὰ τῆς ἐγκλίσεως συγκεχύσθαι, καὶ δύο ἐγκλίσεις εἰς μίαν συμπίπτειν. ὅτι γὰρ οὔτε προσκαλούμεθα ἑαυτούς, οὔτε μὴν προστάσσομεν ἑαυτοῖς, ὑποτιθέμεθα δέ, ὑποθετικὰ ἂν τὰ τοιαῦτα, συλληπτικὰ δή. ἵνα γὰρ ἐκκλίνῃ τὴν ἐν δευτέρῳ πρόσταξιν, σύλληψιν δέχεται εἰς τὸ πρῶτον ὑποθετικὸν ὄν. Τὸ μὲν οὖν ἐλλεῖπον τῶν προστακτικῶν πρῶτον, καὶ τὰ ἐλλείποντα τῶν ὑποθετικῶν δεύτερα, καὶ τρίτα, εἰς ἕνωσιν ἄγει τὰς δύο ἐγκλίσεις, ἵνα ἑκατέρα ἀναπληρῶται. Τὸ δὲ τρίτον τῶν προστακτικῶν πρόσταξιν ἀπόντος προσώπου δηλοῖ, δευτέρου δὲ ἀνάγκης παραλαμβανομένου εἰς μετάδοσιν τῆς προστάξεως. ἀσύστατος γάρ τοι ἡ πρόσταξις ἄνευ δευτέρου.

Εὐκτική.

Ἡ δὲ εὐκτικὴ ἀπὸ τῆς γινομένης εὐχῆς ὠνόμασται, καὶ ἐπιρρήματα ἔχει. εἴθε, αἴθε, ἃ τοῖς μὲν εὐκτικοῖς εἰς πλείονα ἐπίτασιν παρατίθεται. τοῖς δὲ ὁριστικοῖς δεόντως. εἴθε ἔγραψεν. ἵνα ἡ ὁριστική, εὐκτικὴν ἀναδέξηται σύνταξιν. διαφέρει δὲ τὸ παρὰ τὰ ῥήματα εὐκτικόν, τοῦ παρὰ τὰ ἐπιρρήματα. ἢ τὰ μὲν ῥήματα, μετὰ τοῦ ἐνόντος πράγματος τὴν εὐκτικὴν σημαίνει διάθεσιν. τὸ γάρ τοι γράφοιμι, εὐχή ἐστι πράγματος τοῦ γράφειν. καὶ τὸ φιλολογοῖμι, τοῦ φιλολογεῖν. τὸ δὲ εἴθε σχεδόν τι ὄνομά ἐστιν εὐχῆς. οὐ γὰρ συμπαρίσταται καὶ τὸ ἐφ' ᾧ τὰ τῆς εὐχῆς. ὥσπερ ἄρα καὶ τὸ εἷς διαφέρει τοῦ ἄνθρωπος. ἢ τὸ μὲν εἷς ὄνομά ἐστι μοναχῶς ἀριθμοῦ. τὸ δὲ ἄνθρωπος πρὸς τῷ τῆς κοινῆς οὐσίας σημαινομένῳ παρυφιστάμενον ἔχει τὸ εἷς. Ὡσαύτως δὲ καὶ ἐγὼ πρὸς τὸ γράφω ἔχει. καὶ τὸ ἄλλοθεν πρὸς τὸ Ἰλιόθεν. καὶ τὸ τάχιστος δὲ τὴν ἐπίτασιν, ὡς ἐν ὑποκειμένῳ σημαίνει. οὐκέτι δὲ καὶ τὸ ἄγαν. αὐτὸ γὰρ μοναχῶς ἐπιτάσεώς

ἐστιν ὄνο-

est denoĩatio. Pari modo & scribito ad age. Cęterũ hoc, *Iliad. ε.* utinã in nauibus sine lachry. & offensione federes. nõ ex dependẽtia est. Discretionẽ enim addit personæ ὄφελες, quæ non est in εἴθε.

Subiunctiuus.

Constructio subiunctiui. Subiunctiuũ autẽ pleriq; dubitatiuũ appellant, qđ nõ sit sine cõiunctione dubitatiua, si. Nõ uniuersaliter tamẽ huiusmodi. Quandoquidẽ & quæ uocantur finales coniunctiones, in eandẽ cõstructionẽ ferunt. Socrates deambulat, ut sanus sit. Quoniã igit nõ cõstat, nisi subiungatur ꝑpositis cõiunctionibus, nuncupat subiũctiuus. Fert aũt hmõi cum si, & similibus, in futurũ, uel pręsens. ut si dicendi studiosus sim, aderit Dion. si legã, adest Theon. Similiter uero & cũ ut. ut dicẽdi studiosus sim, aderit, uel adest Dion. Quod si constructio ꝑteriti accesserit, cõiunctio uocetur causalis. ut dicẽdi studiosus sim, affuit Dion. quod idem finaliter potest intelligi. Sed in his quæ nondũ transierunt, causalis constructio esse nõ potest. Siquidẽ de factis causa redditur, eoq; magis congruit coniunctio causalis sequentibus præteritis. ut doceret, aderit Dion, non adsit. quanq̃ in finali locum habeat. Porrò ut ad futurũ, uel præsens subiunctiuum redditur, ita & optatiuum ad præteritũ. ut affuit Dion, ut docerẽ, uel docuissem. Vult enim natura in omnibus aliquid huiusmodi esse, & si nõ semper ita usos uideamus oratores.

Infinitiuus.

Infinitiui cõstructio. Cæterũ infinitiuus nomẽ est uerbi. & Stoici quidẽ hũc modũ uerbũ uocant, reliqua aũt omnia ꝑdicamẽta, seu accidentia, atq; cõgruitates. Quamobrẽ (tanq̃ in cõe nomẽ) in infinitiuũ omnis resoluitur modus. ut deambulat Theon, definio deambulare Theonẽ. sed ex definito in narrationẽ transfertur oratio. Eodẽ aũt modo & in cæteris modis, apposita semper modi ꝓprietate. ut opto, uel *Infinitiui resolutio.* impero. Nã ipsius infinitiui proprie nullus erit modus. nullius nanq; affectionis est significatiuus. resolui tñ potest sic. sanus est Dion, dicunt Dionẽ sanũ esse, dicunt Dionẽ offendisse Theonẽ. Ad hęc & articuli apposito conueniens

ἐστὶν ὄνομα. Ὁμοίως δὲ καὶ τὸ γράψον, πρὸς τὸ ἄγε. τὸ δὲ, αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι. οὐκ ἐκ παραλλήλου. διάκρισιν γὰρ παρυφίστησι προσώπου τὸ ὄφελες. ἥτις οὐκ ἔνεστι τῷ εἴθε.

Ὑποτακτική.

Τὴν δὲ ὑποτακτικὴν ἔνιοι καὶ διστακτικὴν καλοῦσιν, ὅτι οὐκ ἔστι χωρὶς συνδέσμου διστακτικοῦ τοῦ ἐάν. οὐ καθόλου δὲ τὸ τοιοῦτο. καὶ οἱ καλούμενοι γὰρ ἀποτελεστικοὶ σύνδεσμοι, ἐπὶ τὴν αὐτὴν σύνταξιν φέρονται. Σωκράτης περιπατεῖ, ἵνα ὑγιαίνῃ, ὅτι μὲν οὖν οὐ συνίσταται, εἰ μὴ ὑποταγῇ τοῖς προκειμένοις συνδέσμοις, προσαγορεύεται ὑποτακτική. φέρεται δὲ ἡ τοιαύτη μετὰ τοῦ ἐὰν καὶ τῶν ἴσων ἐπὶ μέλλοντα, ἢ ἐνεστῶτα. οἷον ἐὰν φιλολογῶ, παρέσται Δίων. ἐὰν ἀναγινώσκω παραγίνεται Θέων. Ὡσαύτως δὲ καὶ μετὰ τοῦ ἵνα. ἵνα φιλολογήσω παρέσται, ἢ πάρεστι Δίων. ἐάν γε μὴν σύνταξις παρῳχημένου ἐγγένηται, ὁ σύνδεσμος καλεῖσθαι αἰτιολογικός. ἵνα φιλολογήσω, παρεγένετο Δίων. τοῦτο δὲ ἀποτελεστικῶς ἔχει ἀκούεσθαι. ἐπὶ μέντοι τοῖς ἐσομένοις ἡ τοῦ αἰτιολογικοῦ σύνταξις οὐκ ἂν εἴη. ἐπὶ γὰρ γεγονόσι τὰ αἴτια ἐπιλέγεται. δι' ὃ καὶ καταλληλότερον τὸ αἰτιολογικὸν ἐπιφερομένων τῶν παρῳχημένων. ἵνα διδάξῃ παρεγένετο Δίων, οὐ παραγενήσεται. ἐπὶ μέντοι τοῦ ἀποτελεστικοῦ παραγενήσεται. ὡς δὲ πρὸς τὸ μέλλον, ἢ ἐνεστὸς τὸ ὑποτακτικόν, οὕτω καὶ τὸ εὐκτικὸν ἐπὶ παρεληλυθότος. οἷον παρεγένετο Δίων ἵνα διδάσκοιμι, ἢ διδάξαιμι. βούλεται γὰρ καθόλου τι τὸ τοιοῦτο εἶναι. κἂν μὴ ἀεὶ οὕτω χρωμένους ὁρῶμεν τοὺς λέγοντας.

Ἀπαρέμφατος.

Τὸ δὲ ἀπαρέμφατον, ὄνομά ἐστι ῥήματος. καὶ οἱ ἀπὸ τῆς στοᾶς δὲ τοῦτο μὲν ῥῆμα καλοῦσι. τὰ δ' ἄλλα πάντα κατηγορήματα, ἢ συμβάματα. δι' ὃ καὶ ὡς ἐπὶ κοινὸν ὄνομα τὸ ἀπαρέμφατον, πᾶσα ἀναλύεται ἔγκλισις. οἷον περιπατεῖ Θέων, ὁρίζομαι περιπατεῖν Θέωνα. ἐξ ἀποφάσεως δὲ εἰς ἀφήγησιν μεταβάλλει ὁ λόγος. ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων ἐγκλίσεων προσκειμένου ἀεὶ τοῦ τῆς ἐγκλίσεως ἰδιώματος. οἷον εὔχομαι, ἢ προστάττω. αὐτοῦ δὲ τοῦ ἀπαρεμφάτου κυρίως οὐκ ἔσται ἔγκλισις. βουλήματος γὰρ οὐδενός ἐστι σημαντικόν, διαλύοιτο δ' ἂν καὶ ὧδε. ὑγιαίνει Δίων, φασὶ Δίωνα ὑγιαίνειν, λέγουσι Δίωνα ὑβρίσαι Θέωνα. Ταῦτ' ἄρα καὶ ἡ τοῦ ἄρθρου προσθήκη καταλ-

ueniēs est, & accōmoda infinitiuis. Pulchrū em̄ dicimus, uirtutē sectari, & philosophari nihil iucundius. item, flos rum est fragrare. loco igit̄ nominis usus huiusmodi. Proprium aūt infinitiui, ut cum alijs modis cōstructus actū cōplectat̄. Quoniā tanq̄ uerbū uerbi diuersam habebit trāsitionē. ut ignoscere te ei qui deliquit. Præterea ut omni personæ, & omni numero applicet̄, ppterea quod expers sit taliū. Etiā cum alijs modis omnibus, & cum seipso cōstruat̄. uideo te meditari, ut legas. Et cum participio. meditantē ut legas. Rursum cum noīe. pulcher uisu, fortis ad pugn. Itaq̧ pr̨scriptis formis de constructione omnibus poterit adiungi. doceo te differere. posco te pecunias ad subiugandos hosteis. audio te discere, quæ ad statum urbis. absoluo te uinculis, ut eas quò uisum fuerit. do tibi pecuniā ut emas ea, quorū eges. cōmunico tibi bona, ne inuidus esse uidear. S̨penumero tamē maioris declarationis causa, ut dictū est, addendū uel digressiuū ut, uel desectiuū τοῦ, uel pr̨positio cum articulo, prout usus exegerit. ut adhortor te h̨c, ut assequaris, ut assequaris, ut assequaris honoremq̧ & gloriam.

Electiua & subministratiua.

Maxime uero in his, q̄ electiua, & subministratiua uocant̄, infinitiuus subinfert̄. uolo uel uolo scribere. cōstituo uel cupio phāri, desydero medicinā exercere, cupio uidere, cōcupisco auxiliari, scio uel possum scribere. Identidē & cum impersonal. oportet fieri, dicit̄ aduētasse multos.

Præsens. indefinitum.

Temporum constructio. Reddemus aūt (ut dicā paucis) modo quidē finali indefinitum, & præsens. uado ut occurram uiro, obsecro te adesse, uel occurrere. si semel aut sæpius sit in usu.

Præsens. Indefinitum. Futurum.

Formæ uero specificæ per p̄teritū, præsens, & futurū. sed nō omnino, uerū narratiue quidē, & opinatiue, & cognitiue utcūq̧. dicunt, uel puto, uel scio uirū dixisse, dicere, dicturū esse. Promissiue aūt, & denominatiue ad istā *μέλλον.* dictionē μέλλον. promitto dicturū esse, spero uisurū esse, sum facturus. Cōgruit tn̄ & pr̨sens quidē cū futuro. sum facturus.

λικλος τοῖς ἀπαρεμφάτοις. καλὸν γὰρ φαμὲν τὸ ἀρετῆς ἀντιποιεῖσθαι. καὶ τὸ φιλοσοφεῖν οὐδὲν ἴδιον. καὶ τῶν ἀνθίων τὸ δοθῆναι. ἀντὶ ὀνόματος οὖν ἡ χρῆσις. Ἴδιον δὲ τοῦ ἀπαρεμφάτου πρὸς τὰς ἄλλας ἐγκλίσεις καὶ τό, τι αἰτιατικὴν περιέχειν, ἐπεὶ ὥστε ῥῆμα τῶ τῷ ῥήματος διάφορον ἕξει μετάβασιν. οἷον συγγινώσκειν σε, τῷ ἡμαρτηκότι. Καὶ τὸ παντὶ προσώπῳ, καὶ παντὶ ἀριθμῷ συντάττεσθαι, διὰ τὸ ἀμοιρεῖν τῶν τοιούτων. καὶ τὸ ταῖς ἄλλαις ἐγκλίσεσι πάσαις, καὶ ἑαυτῷ δὲ συντάττεσθαι. ὀρθῶς μελετᾶν ἀναγινώσκειν. καὶ μετοχῇ. μελετῶντα ἀναγινώσκειν. καὶ ὀνόματι. καλὸς ἰδεῖν. ἀνδρεῖος μάχεσθαι. Καὶ τὸ τοῖς διωρισμένοις τρόποις περὶ συντάξεως ἅπασιν οἷόν τε εἶναι προσκεῖσθαι. διδάσκω σε διαλέγεσθαι. ἀπαιτῶ σε χρήματα δουλώσασθαι τοὺς ἐχθρούς. ἀκούω σου μαθεῖν τὰ περὶ τῶν πόλιν. ἀπολύω σε τῶν δεσμῶν πορεύεσθαι ὅποι δοκεῖ. δίδωμί σοι ἀργύριον πρίασθαι ὧν ἂν δέῃ. κοινωνῶ σοι τῶν ἀγαθῶν, μὴ φθονερὸς εἶναι δοκεῖν. Πολλαχῆ μέν τοι τοῦ σαφεστέρου χάριν, ὡς εἴρηται, προσθετέον, ἢ ἀποστατικὸν τὸ ὥστε, ἢ ἐλλειπτικὸν τὸ τῷ, ἢ προθετικόν, ὁμοῦ ἄρθρῳ. ὅπως ἂν ἡ χρεία ὑπαγορεύῃ. παρακαλῶ σε ταῦτα ὥστε τυχεῖν, τοῦ τυχεῖν, ἐφ᾽ ᾧ τυχεῖν τιμῆς τε, καὶ δόξης.

Προαιρετικά, καὶ ὑπηρετικά.

Μάλιστα δὲ τοῖς προαιρετικοῖς, καὶ ὑπηρετικοῖς καλουμένοις τὸ ἀπαρέμφατον ἐπιφέρεται. βούλομαι ἢ θέλω γράψαι, προαιροῦμαι ἢ ἐφίεμαι φιλοσοφεῖν, ἐπιθυμῶ ἰατρεύειν, ποθῶ ἰδεῖν, ποθυμοῦμαι βοηθεῖν, ἐπίσταμαι, ἢ δύναμαι γράφειν. καὶ ἔτι γε τοῖς ἀπροσώποις. δεῖ γενέσθαι, λέγεται ἀφικέσθαι πολλούς.

Ενεστώς. ἀόριστος.

Αποδώσομεν δέ, ὡς ἁπλῶς εἰπεῖν, τὸ μὲν τελικῶ κατά τε ἀόριστον καὶ ἐνεστῶτα. πορεύομαι ἐντυχεῖν τἀνδρί, ἀντιβολῶ σε παραγενέσθαι, ἢ παραγίνεσθαι, εἰ τὸ ἅπαξ, ἢ τὸ πολλάκις ἐνχρεῖα.

Ενεστώς. ἀόριστος. μέλλων.

Τῷ δ᾽ ἐθικῷ, κατά τε τὸ παρῳχημένον καὶ τὸ ἐνεστώς, καὶ τὸ μέλλον. ἀλλ᾽ οὐ πάντως. ἀλλ᾽ ἀφηγηματικῶς μὲν καὶ δοξαστικῶς, καὶ γνωστικῶς ὁτιοῦν. φασίν, ἢ δοκῶ, ἢ οἶδα τὸν ἄνδρα εἰρηκέναι λέγειν, ἐρεῖν. ἐπαγγελτικῶς δὲ καὶ παρωνύμως πρὸς τὸ μέλλον. τὸ μέλλον. ὑπισχνοῦμαι ἐρεῖν, ἐλπίζω ὄψεσθαι, μέλλω δράσειν. Κατάλληλός γε μὴν καὶ ὁ ἐνεστὼς τῷ μέλλοντι. μέλλω

factūrus. Reddentur aūt impersonalibus ea circa tēpus similiter, quæ & finalibus, ut dictū est.

Personæ.

Personæ uerbi tres. Cæterū ex his, quę accidunt uerbo, personæ tres sunt. Prima, per quā de se loquitur loquēs. Secūda, per quā de eo, ad quē sermo est. Tertia, per quā de alio. Neq; eiusdē potētiæ sunt, sed multo tertia inferior est & prima, & secūda. Secunda identidē & prima. Proinde secūda assumpta, sine tertia oratio fieri potest. ut tibi enim ego dico, tu uero spōde, & mihi iura. Tertia nō potest dici, nisi etiam prima, uel secunda expressa, aut subaudita. *Exemplū ex Iliad. lib. a.*

Conceptio.

Personarū cōceptio mutua. Itaq; prima quidē & secūda possunt cōcipere tertiam ad plurale suū uerbū, sed tertia neutrā harum. Etenī ego quidē & ille deambulamus dicimus, & tu & ille deambulatis, non autē ille & ego deambulant, uel ille & tu deambulant. Quemadmodū aūt tertia ad primā & secundā se habet, sic & secunda ad primā. Siquidē prima cōcipit secundā, cōtra uero non. Ego igitur & tu deambulamus, dicimus, non autem deambulatis.

DE PARTICIPIO.

Participiorū cōstruct.



Articipiū uero (ut & uox indicat) pars est orationis particeps noīs & uerbi. Accipit aūt à nomine genus quidē, & casum. à uerbo affectum, & tēpus, & cōiugationē. Vnde partim ut nomē cōstructionē habet, partim ut uerbū. Porrò quēadmodum conueniunt in constructione uerba inter se, & cum nominibus, ita & participia inter se, & cum uerbis, & nominibus. Nam sicut dicimus scribere uolo, & dicere cupio. sic & scribere uolens, & dicere cupiens. Venustius tamen per futurum participii. uenio dicturus, mitto te nunciaturū. Item ut do Socrati, sic & dans Socrati. Præterea ut amo seruatorem, sic amo seruantem. Et ut specto luctatores, sic spectans luctāteis. Cæterum illud, arcu bene sciens, poëticum est per antimeriā, ac si diceret, arcu peritus. Postulant itaque participia eosdem casus, quos uerbū *Homericū Hemistichiū Antimeria.*

θρῶν. ἀποδοθήσεται δὲ τοῖς ἀπροσώποις τὰ περὶ τὸν χρόνον ὁμοίως τοῖς τελικοῖς, ὡς εἴρηται.

Πρόσωπα.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι τὰ πρόσωπα τρία ὄντα. πρῶτον, ᾧ περὶ ἑαυτοῦ φράζει ὁ λέγων. Δεύτερον, ᾧ περὶ τοῦ πρὸς ὃν ὁ λόγος. Τρίτον, ᾧ περὶ ἑτέρου. οὐκ ἰσοδύναμα ἀλλήλοις ἐστίν, ἀλλὰ πολὺ τὸ τρίτον λείπεται τοῦ πρώτου τε, καὶ δευτέρου. Τὸ δὲ δεύτερον ἔτι τοῦ πρώτου. καὶ οὖν πρώτου, καὶ δευτέρου λαμβανομένου δίχα τοῦ τρίτου, λόγος ἂν γίνοιτο. οἷον τό. Τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μοι ὄμοσσον. Τρίτον δ' οὐκ ἂν λέγοιτο, μὴ καὶ πρώτου, ἢ δευτέρου λεγομένου, ἢ συνυπακουομένου.

Σύλληψις.

Ετι τὸ μὲν πρῶτον καὶ δεύτερον δυνατὸν συλλαμβάνειν τὸ τρίτον εἰς πληθυντικὸν ἴδιον, τὸ δὲ τρίτον οὐδέτερον τούτων. καὶ γὰρ ἐγὼ μὲν κἀκεῖνος περιπατοῦμεν φαμέν. καὶ σὺ κἀκεῖνος περιπατεῖτε. οὐκ ἔτι δὲ καὶ ἐκεῖνος κἀγὼ περιπατοῦσιν. ἢ ἐκεῖνος καὶ σὺ περιπατοῦσιν. ὡς δὲ τὸ τρίτον πρὸς τὸ πρῶτον καὶ δεύτερον ἔχει, οὕτω καὶ τὸ δεύτερον πρὸς τὸ πρῶτον. τὸ μὲν γὰρ πρῶτον συλλαμβάνει τὸ δεύτερον. ἀνάπαλιν δ' οὔ. ἐγὼ οὖν σὺ περιπατοῦμεν, φαμέν. περιπατεῖτε δ' οὔ.

ΠΕΡΙ ΜΕΤΟΧΗΣ.



Ετοχὴ δ', ὡς καὶ τοὔνομα δηλοῖ, μέρος ἐστὶ λόγου μετέχον τοῦ ὀνόματος, καὶ τοῦ ῥήματος. Μετέχει δὲ τοῦ μὲν γένος καὶ πτῶσιν, τοῦ δὲ διάθεσιν καὶ χρόνον, καὶ συζυγίαν. Δι' ὃ καὶ τῇ μὲν τῆς ἀμφὶ τοὔνομα συντάξεως ἔχεται, τῇ δὲ τῆς ἀμφὶ τὸ ῥῆμα. ὥς τε καὶ ὡς ἔχει συντάξεως τὰ ῥήματα πρὸς ἄλληλά τε, καὶ πρὸς τὰ ὀνόματα, οὕτω καὶ αἱ μετοχαὶ πρὸς ἀλλήλας τε, καὶ πρὸς τὰ ῥήματα, καὶ ὀνόματα. ὡς γὰρ φαμὲν γράφειν ἐθέλω, καὶ τοῦ λέγειν ἐφίεμαι. οὕτω καὶ γράφειν ἐθέλων, καὶ τοῦ λέγειν ἐφιέμενος. καὶ βέλτιόν γε ἐπὶ μέλλοντος τὸ μετοχικόν. ἥκω ἐρῶν. πέμπω σε ἀγγελοῦντα. Ετι ὡς δίδωμι Σωκράτει, οὕτω καὶ ὁ διδοὺς Σωκράτει. Ετι ὡς φιλῶ τὸν σωτῆρα, οὕτω φιλῶ τὸν σώζοντα. καὶ ὡς θεῶμαι τοὺς γυμναστάς, οὕτω καὶ θεώμενος τοὺς γυμναζομένους. Τὸ δὲ τόξων εὖ εἰδώς, ποιητικὸν κατὰ ἀντιμέρειαν, ὥσπερ εἰ ἐλέγετο, τόξων εἰδήμων. Φέρονται δὲ αἱ μετοχαὶ ἐπὶ τὰς αὐτὰς πτώσεις

quos uerbū, tametsi reliqua casualia (loquor de his, quæ à uerbo descendūt) nō eandē constructionē seruent. seco hunc, sector huius. Quāobrē scilicet casualia oīa gtm̄ exigunt, prҿter participiū. Nempe queādmodū absolute dicimus respicio, & uiuo, & scribo, & gaudeo. sic & respiciens uiuo, & scribens gaudeo.

Quare inuentum participium.

Manifestū ergo, qđ plurimū ad loquēdi compendiū, & figurā grҿcæ orationis conferūt participia. Multū em̄ differt quantū ad ornatū, scribens dicebā, à scribebā, & dicebam. &, qui scripsi profui, à scripsi & profui. q̄q̄ significationis sint eiusdē. qđ si alterius, id necessario. Etem̄ uerbū in casualē trāsfiguratur speciē. Nam participij ad uerbū constructio declaratio fuerit causæ. ut idem sit, scribens profui, cum hoc, ex scribendo profui.

Oblique.

Vsus obliquorū participij. Frequens aūt est usus obliqui participialis. ut me docente uenit Socrates. & me docente, tu discis. Et obliqua constructio hҿc, sicut illa recta, sumitur uel causaliter, uel per accidens. Duo igitur modi, quibus participiū cū uerbo cōstruitur iam dicti. Alter quidē secundū congruentiā recti ad uerbū eiusdē personæ cū recto, quādoquidē mutatio personæ in hoc loco est solœcism⁹, ut dictū est prius. Socrates deābulans differit. Vocet aūt talis modus eiusdē personæ. Alter uero genitiui indifferēter alterius personæ cum uerbo. ut Socrate differente, Dion, uel tu scribis. Appelletur aūt hic alterius personæ intrāsitiuus. Rursum tertius à datiuo secundū differentē & hic inductionē uerbi. ut differenti Socrates aderat. Quartus itē ab accusatiuo indifferenter & is quoq;. differentē uides, & uidit. Generaliter uero in eodē gn̄e, & eodē casu cū prҿcedētibus casualibus constructū participiū, uerbi congruentiā sequetur. uideo te latitantē, mihi uolenti erat, ab hoc quidem abstinuerunt tanq̄ præsciente.

Participiū cum uerbis quot modis cōstruatur.

Impersonaliter.

De participijs impersonalibus. Impersonalibus aūt participijs peculiare maxime est, ut rectus neutri generis ad cōplementū accipiat secundi modi,

τῷ ῥήματι. καί τοι τῶν ἄλλων πτωτικῶν, λέγω δὴ τῶν ἀπὸ ῥήματος γινομένων, οὐκ εἰς τὸ αὐτὸ τῆς συντάξεως φερομένων. κόπτω τοῦτον, κοπεὺς τούτου. ὅθεν καὶ δηλονότι πάντα τὰ πτωτικὰ δεῖ γενικήν, πλὴν τῶν μετοχῶν. Ἔτι ὡς ἀπολελυμένως φαμὲν ἀναπνέω, καὶ ζῶ, καὶ γράφω, καὶ χαίρω, οὕτω καὶ ἀναπνέων ζῶ, καὶ γράφων χαίρω.

Διατί εὕρηται ἡ μετοχή.

Ὅθεν καὶ δῆλον, ὅτι πολύ τι εἰς βραχυλογίαν καὶ ἑλληνισμὸν λόγου συμβάλλονται αἱ μετοχαί. Πολὺ γάρ τοι διαφέρει εἰς εὐφραδίαν, τὸ γράφων ἔλεγον, τοῦ ἔγραφον καὶ ἔλεγον. καὶ τὸ γράψας ὠφέλησα. τοῦ ἔγραψα καὶ ὠφέλησα. καίτοι σημασίας οὔσης τῆς αὐτῆς. εἰ δὲ καὶ ἑτέρας, δεόντως. καὶ δὴ τὸ ῥῆμα εἰς τὸ πτωτικὸν μετηνέχθη σχῆμα. ἡ γὰρ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα σύνταξις, δήλωμα ἂν εἴη αἰτίας. ὥστ' ἴσον γίνεσθαι, τὸ γράψας ὠφέλησα, τῷ ἐκ τοῦ γράψαι ὠφέλησα.

Πλαγίως.

Πολλὴ δὲ χρῆσις καὶ τοῦ πλαγίου τῶν μετοχῶν. οἷον ἐμοῦ διδάσκοντος ἥκει Σωκράτης. καὶ ἐμοῦ διδάσκοντος σὺ μανθάνεις. τότε πλάγιον τῆς συντάξεως τοῦτο, ὡς ἐκεῖνο τὸ ὀρθόν, ἤτοι αἰτιωδῶς, ἢ κατὰ συμβεβηκός. Δύο μὲν τοίνυν τρόποι τῆς πρὸς τὸ ῥῆμα μετοχῆς συντάξεως οἱ εἰρημένοι. ὁ μὲν κατ' ἀκολούθησιν ἀπ' εὐθείας εἰς ῥῆμα ὁμοιοπροσωποῦν τῇ εὐθείᾳ, ἡ γάρ τοι παραλλαγὴ τοῦ προσώπου ἐνταῦθα σολοικισμός, ὡς εἴρηται πρότερον. Σωκράτης περιπατῶν διαλέγεται. Καλείσθω δὲ ὁ τοιοῦτος ταυτοπροσωπικός. Ὁ δὲ ἀπὸ γενικῆς ἀδιαφόρως ἑτεροπροσωποῦντος τοῦ ῥήματος. Σωκράτους διαλεγομένου, Δίων, ἢ σὺ γράφεις. Προσαγορευέσθω δὲ ἑτεροπροσωπικὸς ἀμετάβατος. Τρίτος δὲ ὁ ἀπὸ δοτικῆς κατὰ διάφορον καὶ οὗτος ἐπαγωγὴν τοῦ ῥήματος. διαλεγομένῳ Σωκράτης παρῆν. Τέταρτος δ' ὁ ἀπὸ αἰτιατικῆς ἀδιαφόρως καὶ οὗτος, διαλεγόμενον ὁρᾷς, καὶ ἑώρα. Καθόλου δὲ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως τοῖς ἐκ πρώτου πτωτικοῖς συνταττομένη ἡ μετοχὴ τὴν τοῦ ῥήματος ποιήσεται ἀκολούθησιν. ὁρῶ σε κρύπτοντα, ἐμοὶ βουλομένῳ ἦν, τοῦ μὲν ἀπέσχοντο, ὡς προειδότος.

Ἀπροσώπως.

Ταῖς δὲ τῶν ἀπροσώπων μετοχαῖς ἴδιον μάλιστα τὸ τὴν εὐθεῖαν τῶν οὐδετέρων, πρὸς ἀναπλήρωσιν γίνεσθαι τοῦ δευτέρου τρόπου.

modi, ut incertũ quãdo quis alius superueniẽs auferet. Et
Exemplum mutuatum è Thucyd. proœmio. priuatus erat tanq̃ nõ decẽs, aut cõueniens illi imperio.
Et feci hęc, cũ oporteret alia. Itẽ cum nunciatũ esset illi ho
steis adesse, obuiã ꝑcessit in pugnã. Simili mõ & in alijs.

. Personaliter.

De personalibus. Personalia uero participia, in recto etiã ꝓlata, indiffe- rẽter cũ quibuslibet uerborũ personis cõstruunt. scribens iuuo, iuuas, uat. eò qđ nõ distinguãt personas participia. Et cũ nominibus quidẽ cõposita, uerbi loco accipiuntur. ut orationes laudãs. Cum uerbis uero, loco noĩs sumun- tur. orãteis laudo. Itẽ si simul masculina quidẽ, & fœmin. pręponãtur participio, ꝑstantius genus, id est masculinũ, participiũ sequet. ut uiri & fœminæ sedentes disserũt. Ma nifestũ igit qđ fœmininis ꝑpositis cum neutris, participiũ
Iliad. β. fœminino subdemus, tanq̃ potiori. ut hoc Hom. Vestræ autẽ uxores, & infantes liberi sedent in atrijs auide expe- ctantes. Sin masculina, & fœm. simul ꝓcedant iuxta trãs- figurationẽ uocis, nõ iuxta significationẽ, neutro redde-
Homericũ. mus participiũ, cuiusmodi sanè & hoc. Mens quidẽ & sen sus inter se distincta sunt. Quod si diuersa ꝑponant gña seorsum, participiũ ꝓpinquiori cõueniet. Neq; Mars fer- uator populi, neq; Pallas uidens uituperet. Coaptantur & substantiuis uerbis nihilo plus significãtia, q̃ uerba un- de resoluuntur. ut scribens sum, & scribens fui. Idẽ enim quod scribo, & scripsi.

DE ARTICVLO.

Articuli definitio.



Rticulus aũt est oratiõis quidẽ casualis pars, ꝑposita noĩbus. Diuiditur aũt in ꝑpositiuũ, & postpositiuũ, ut definitũ est prius. Proprie tñ
Artic. præpositiui constructio. articulus, qui ꝑpositiuus. facit eñ memoriã ꝓcogniti in cõstructione. ut si dicat quis. homo uenit. in- certũ de quo homine dicit. Sĩ uero hic homo, certũ, nem pe de memorato prius aliquo hominũ. Porrò hoc idem uolunt, qui dicunt articulũ significatiuũ esse tũ primæ no tionis, tum secundæ. Itaq; præpositiui articuli omnibus nominibus pręponũtur, postpositiui uero soli huic inde- finito

τρόπου. οἷον ἄδηλον ὂν ὁπότε τις ἐπελθὼν ἄλλος ἀφαιρήσεται. Καὶ ἰδιώτης ἦν, ὡς ὁ μετὸν, ἢ προσῆκον αὐτῷ τῆς ἀρχῆς. Καὶ ἔπρασσον ταῦτα, δίον ἕτερα. καὶ ἀκουσθὲν αὐτῷ τοὺς πολεμίους παρεῖναι, ἀντεπεξῄει εἰς μάχην. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Προσωπικῶς.

Αἱ δὲ τῶν προσωπικῶν καὶ εὐθυλογούμεναι, ἀδιαφόρως τοῖς τῶν ῥημάτων προσώποις συντάσσονται. γράφων ὠφελῶ, ὠφελεῖς, ὠφελεῖ. διὰ τὸ μὴ διακριτικὰς εἶναι προσώπων. Καὶ ὀνόμασι μὲν συντασσόμεναι, ἐν ῥήματος μοίρᾳ λαμβάνονται, τοὺς λόγους ἐπαινῶν. ῥήμασι δὲ, ἐν μοίρᾳ ὀνόματος. τοὺς λέγοντας ἐπαινῶ. κἂν ὁμοῦ ἀρσενικὰ ἅμα καὶ θηλυκὰ προτάσσηται μετοχῆς, τὴν τοῦ ἐπικρατεστέρου γένους, τουτέστι τοῦ ἀρσενικοῦ μετοχὴν ἐπάγειν. οἷον ἄνδρες, καὶ γυναῖκες καθήμενοι διαλέγονται. Δῆλον οὖν ὅτι καὶ θηλυκῶν προτασσομένων σὺν οὐδετέροις, τὴν τοῦ θηλυκοῦ ἐποίσομεν ἅτε προτέρου. οἷον τὸ Ὁμήρου. αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα, εἵατ' ἐνὶ μεγάροις ποτιδέγμεναι. ἢν δ' ἀρσενικὰ ὁμοῦ προταχθῇ κατὰ μετασχηματισμὸν φωνῆς, ἀλλὰ μὴ κατὰ σημασίαν, τὴν οὐδετέραν ἀποδώσομεν μετοχήν. οἷον δὴ καὶ τό. Νοῦς μὲν ἤδη καὶ αἴσθησις ἀπ' ἀλλήλων διακριθέντα. Ἔτι ἐὰν διάφορα προτάσσηται γένη χωρὶς, ἡ μετοχὴ τοῦ ἐγγυτέρου ἔσται. οὐ δὲ κάρης λασιόος οὐδὲ κἀθήνη τόν γε ἰδοῦσ' ὀνόσαιτο. Συνάπτονται δὲ καὶ τοῖς ὑπαρκτικοῖς ῥήμασι μηθὲν πλέον δηλοῦσαι τῶν στοίχων ῥημάτων. οἷον γράφων εἰμὶ, καὶ γεγραφώς. ἴσον γὰρ τῷ γράφω, καὶ γέγραφα.

ΠΕΡΙ ΑΡΘΡΟΥ.

Ο δὲ ἄρθρον, ἔστι μὲν λόγου πτωτικὸν μέρος προτασσόμενον τοῖς ὀνόμασι. Διαιρεῖται δὲ εἰς προτακτικόν τε, καὶ ὑποτακτικὸν, ὡς διώρισται πρότερον. Κυρίως γε μὴν ἄρθρον τὸ προτακτικόν. ποιεῖ δ' ἀναπόλησιν προεγνωσμένου τοῦ ἐν τῇ συντάξει. οἷον, εἰ μὲν λέγοι τις. ἄνθρωπος ἥκει. ἄδηλον, τίνα ἄνθρωπον λέγει. εἰ δὲ ὁ ἄνθρωπος, δῆλον. προεγνωσμένον γάρ τινα τῶν ἀνθρώπων. Τοῦτο δὲ αὐτὸ βούλονται καὶ οἱ φάσκοντες τ' ἄρθρον σημαντικὸν πρώτης γνώσεως καὶ δευτέρας. Τὰ μὲν οὖν προτακτικὰ πάντων τῶν ὀνομάτων προτίθεται, τὰ δὲ ὑποτακτικὰ ἑνὸς ἀο-

finito quis inclinatiuo. qcũq;. Prẹponũtur similiter & cõ-iunctioni περ. quiquidẽ. & γε. quiquidẽ. & ουν. quinã. poẽtæ etiam & qui & qui dicũt. Sed quãdo simpliciter sic accipiuntur, articulo huic τις copulãtur duntaxat aut ex dictis alicui. Cum uero se quis incertũ significare uult, etiã ποτε innectit cum quis enclitica. ut quisnã erat ille. Adijciatur uero his & ἄττα, quod cum idem, quod quẹcunq;, p̃ponitur. quẹcũq; dixeris. cũ uero idẽ, quod talia, subiũgitur. qualia cunq; sint. Itẽ p̃positiui noĩbus, & participijs generaliter p̃ponuntur. Pronominibus uero non oĩbus. Rursum postpositiui gñaliter noĩbusq;, & participijs, & itẽ pronominibus subnectunt. Sequit itaq; postpositiuus parteis quascunq; casualeis, p̃cedit aũt uerba. ut si dicat quis. Tẽperans q̃ prauis imperat cupiditatibus. Vñ saně nõ proprie erit articulus hic. Verba em̃ p̃cedit q̃ naturaliter articulis nõ possunt coaptari. Vsus itẽ p̃positiui & in distributis casualibus cũ discretiuis cõiunctionib⁹, qdẽ, & uero, idq; tripliciter. Aut em̃ per ntm̃. ut homines alij quidẽ incursabãt, alij uero apparabãt. Aut per genitiuũ. hominũ alij quidẽ Grẹci, alij uero Barbari. Vel per accusatiuũ. ut duceis alios quidem ceperũt, alios uero capere haud quaq̃ potuerunt.

Artic. quib. iungantur particulis.

ἄττα.

Vsus articulorum cum μὲν, & δὲ.

Prolepsis.

Vbi sanè & si per præsumptionẽ plurale uerbũ prẹponitur, antè utrunq;, quod sequitur, ntm̃ oportet p̃cedere in collectione. ut aq̃læ uolauerũt duæ, altera qdẽ ab oriẽte, altera uero ab occidẽte. Si ad distributa singulare seq̃tur, gtũs necesse est, antecedat pluralis. duarũ aq̃larũ altera qdẽ ab oriẽte uolauit, altera uero ab occidẽte. Licet tñ & singulare aliq̃n in singularia diuidere, aliq̃n etiã in pluralia. ut humanũ genus partĩ qdẽ bonũ, partĩ uero malũ. & humani gñis alij qdẽ boni, alij uero mali. Et rursũ plurale interdũ qdẽ in plural. interdũ uero in singu. hoĩm alij qdẽ boni, alij uero mali. duarũ uolu. alt. q. uolatilis, al. u. nõ. Si igit rectus p̃cedat, ponat in collectiõe uerbũ. si uero gtũs, in diuisis, ut ostẽsum est. Volentibus uero & collectionẽ, & partitionẽ per obliquos p̃ferre, necesse est utiq;

& partici

ῥήσεως τῆς ἐγκλινομένης. ὅστις. προτίθεται δὲ ταυτὸ ὁμοίως καὶ συνδέσμους τοῦ περ. ὅσπερ. καὶ τοῦ γε, ὅς γε. καὶ τοῦ πους. ὅσπους. ποιεῖται δὲ καὶ ὅς ῥα, καὶ ὅς νυ λέγουσιν. ἀλλ' ὅταν ἁπλῶς οὕτω λαμβάνηται, τῷ τις συντάσσεται μόνον, ἢ τῶν εἰρημένων τινί. ὅταν δὲ αὐτόν τις ἀγνοοῦντα δηλῶσαι βούληται, καὶ τὸ ποτὲ ἐμπιπλέκει τῷ τις ἐγκλινόμενον. οἷον ὅς τίς ποτε ἦν ἐκεῖνος. Προσκείσθω δὲ τούτοις καὶ τὸ ἅττα, ὡς μὲν τὸ ἅτινα προτασσόμενον. ἅττ' ἂν εἴπῃς. ὡς δὲ τὸ τινὰ ὑποτασσόμενον. ὁποῖ' ἅττ' ἂν ᾖ. Ἔτι τὰ μὲν προτακτικά, ὀνομάτων καὶ μετοχῶν καθόλου προστίθεται. ἀντωνυμιῶν δέ, οὐ πασῶν. Τὰ δὲ ὑποτακτικὰ καθόλου ὀνόμασί τε, καὶ μετοχαῖς, καὶ ἀντωνυμίαις τυγχάνει ἑπόμενα. ἀκολουθητικὸν ἄρα τὸ ὑποτακτικὸν πάντων τῶν πτωτικῶν. προηγητικὸν δὲ τῶν ῥημάτων. οἷον εἰ λέγοι τις. σώφρων, ὃς τῶν φαύλων κρατεῖ ἐπιθυμιῶν. ὅθεν δὴ καὶ οὐ κυρίως ἂν εἴη ἄρθρον ταυτί. ῥημάτων γὰρ προηγεῖται τῶν μὴ πεφυκότων ἄρθροις συντάττεσθαι. Χρῆσις δὲ τοῦ προτακτικοῦ κἀπὶ τῶν ἐπιμεριζομένων πτωτικῶν τοῖς μεριστικοῖς καλουμένοις συνδέσμοις τῷ μέν, καὶ δέ. τριχῶς δέ. ἢ γὰρ κατ' εὐθεῖαν. οἷον ἄνθρωποι, οἱ μὲν ἤδη εἰσέτρεχον, οἱ δὲ παρεσκευάζοντο. ἢ κατὰ γενικήν. τῶν ἀνθρώπων, οἱ μὲν ἕλληνες, οἱ δὲ βάρβαροι. ἢ κατὰ αἰτιατικήν. τοὺς στρατηγούς, τοὺς μὲν ἔλαβον, τοὺς δὲ λαβεῖν οὐδαμῶς ἠδυνήθησαν.

Πρόληψις.

Ἔνθα δὴ καὶ εἰ μὲν κατὰ πρόληψιν πληθυντικὸν ῥῆμα προστάσσεται, πρὸς ἑκάτερον τὸ ἑπόμενον, εὐθεῖαν δεῖ προηγεῖσθαι ἐν τῇ ἀθροίσει. οἷον ἀετοὶ διέπτησαν δύο, ὁ μὲν ἀπ' ἀνατολῶν, ὁ δὲ ἀπὸ δυσμῶν. Εἰ δὲ πρὸς τὰ μεριζόμενα ἑνικὸν ἕπεται, γενικὴν δέοι ἂν ἡγεῖσθαι πληθυντικήν. δυοῖν ἀετῶν ὁ μὲν ἀπ' ἀνατολῶν ἔπτη, ὁ δὲ ἀπὸ δυσμῶν. Ἔξεστι γε μὴν καὶ τὸ ἑνικὸν ὁτὲ μὲν εἰς ἑνικὰ διελεῖν, ὁτὲ δὲ εἰς πληθυντικά. τἀνθρώπειον γένος, τῇ μὲν ἀγαθόν, τῇ δὲ φαῦλον. τἀνθρωπείου γένους, οἱ μὲν ἀγαθοί, οἱ δὲ φαῦλοι. Καὶ αὖ πάλιν τὸ πληθυντικόν, ὁτὲ μὲν εἰς πληθυντικά, ὁτὲ δὲ εἰς ἑνικά. τῶν ἀνθρώπων, οἱ μὲν ἀγαθοί, οἱ δὲ φαῦλοι. δυοῖν ὀρνίθων, ὁ μὲν πτητικός, ὁ δὲ οὔ. Εἰ μὲν οὖν εὐθεῖα ἡγεῖται, κείσθω ἐν τῇ ἀθροίσει τὸ ῥῆμα. εἰ δὲ γενική, ἐν τοῖς μεριζομένοις, ὡς δέδεικται. Βουλομένοις δὲ καὶ τὴν ἄθροισιν, καὶ τὸν μερισμὸν πλαγίως προσενεγκεῖν, ἀνάγκη δὴ

& participio uti obliqui casus, sumpto loco uerbi, & trãsitionẽ in diuersam personã facere. ut aquilarũ uolãtiũ, huius qdẽ ab oriẽte, illius uero ab occidẽte, æqlis uelocitas. Et per dtm. aquilis uolãtibus, huic quidẽ, illi uero. Et per acũ. aquilas uolãteis, hanc quidẽ, illã uero. nã illud Hõ. ambobus uero sedẽtibus, uenerabilior erat Vlysses, solœcismo est simile. Cęterũ ꝓpriũ ꝑpositiui neu. articuli, non oĩbus mõ orõis partibus, sed orationi ipsi anneċti materi aliter. ista diċtio homo, hęc diċtio mulier, hoc uerbũ dico, hęc oratio Socra. disputat. Quãobrẽ sumẽda erũt ut neu. hmõi oĩa, & indeclin. Itẽ iste artic. qui si cũ aċtõ noĩs copulet, necesse est, ut nõ ad pcedẽs nomẽ solũ, uerũ etiã subiunċtũ ipsi, ad aliud uerbũ ꝓferatur. Virũ mihi dic musa multiſciũ, q plurima peragrauit. Trãsitio aũt hoc loco est à persona in personã. Qđ si reċtus adiũgitur reċto, ad eandẽ personã ambo uerba referunt. uenit uir qui literas mittebat. Rursum si duo obliꝗ fuerint, uel ad alterã personã fieri potest. ut hoĩem (cuius misereor) nutrio. uel per reciprocũ. meipsum (quẽ diligo) curo. Si aũt alter casuũ fuerit reċtus, alter uero obliquꝰ, interdũ ad noĩatiuũ trãsitio uerbalis fiet, à persona in personã. laudat Danaos Hom. quẽ honoro. Et rursum. obijt Patroclus, quẽ dilexit Achilles. Freqũetius tamen ad obliquũ. honoro Homerũ, qui Danaos laudat. Præterea obliqui articuli, qui ad reċtos omniũ casualiũ referũtur. Homerus, cuius, cui, quẽ. E cõtrario qui nominatiuo, oẽs aliorũ casus cõgrue adiũguntur. Homerus, qui Iliada cõscripsit. Homero, qui. Homerũ, qui. Homere, qui. Itẽ eiusdẽ qui, obliqui casualiũ obliquis omnibus adiũguntur. Homerus, cuius, cui, quẽ. In reliquis similiter adiunċtis etiã ꝑpositionibus. à quo, cum quo, circa quẽ. Est aũt qñ post postpositiuũ statim participiũ inferimus, in eodẽ genere, in eodẽꝗ & casu, & numero, uel oblique cõstruċtũ, idꝗ infĩgtõ semper, aut solũ, aut cum noĩe, uel aduerbio. ut eligo uirtutẽ, quã pręsentẽ nullus à me auferat. laudo modũ Socratis, quo præeunte & sedulo existẽte, plurimi profecerũt ad uirtutem. Rursum cum aduerbijs. quo optime uitã instituente. Participium etiam ua-

Ex lib. Iliad. tertio.

Artic. postpositiui constructio.

Initiũ Odyssea Homeri

καὶ μετοχῇ χρῆσθαι πλαγίᾳ ἐν μοίρᾳ λαμβανομένῃ ῥήματος, καὶ μετάβασιν ἑτεροπροσωπικῶς ποιεῖσθαι. ἀετῶν διαπτάντων, τοῦ μὲν ἀπ᾽ ἀνατολῶν, τοῦ δὲ ἀπὸ δυσμῶν, ἴσον τὸ τάχος. Καὶ πρὸς δοτικήν. ἀετοῖς διαπτᾶσι, τῷ μὲν, τῷ δέ. καὶ πρὸς αἰτιατικήν. ἀετοὺς διαπτάντας, τὸν μὲν, τὸν δέ. Τὸ δ᾽ Ὁμήρου. ἄμφω δ᾽ ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς, σολοικοφανές. Ἴδιον δὲ τοῦ προτακτικοῦ οὐδετέρου, τὸ πᾶσι τοῖς τοῦ λόγου μέρεσι, καὶ τῷ λόγῳ αὐτῷ συντάττεσθαι ὁρικῶς. οἷον τὸ ἄνθρωπος, τὸ γυνή, τὸ λέγω, τὸ Σωκράτης διαλέγεται. ὥσθ᾽ οὕτω καὶ εἴη ἄν, ὡς οὐδέτερα πάντα καὶ ἄκλιτα. Ἔτι τὸ ὅς, ὀνόματος αἰτιατικῇ ἐπιπλεκόμενον, ἀνάγκη μὴ πρὸς τὸ ἡγούμενον ὄνομα μόνον, ἀλλὰ καὶ πρὸς τὸ συνημμένον αὐτῷ, ἕτερον ῥῆμα προφέρεσθαι. ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον, ὃς μάλα πολλὰ πλάγχθη. Μετάβασις δὲ τοῦτο ἀπὸ προσώπου εἰς πρόσωπον. Εἰ δ᾽ εὐθεῖα συντάττοιτο εὐθείᾳ, πρὸς τὸ αὐτὸ πρόσωπον ἄμφω τὰ ῥήματα ἀναφέρεται. ἧκεν ἀνήρ, ὃς ἐπέστελλεν. Εἰ δὲ δύο πλάγιαι εἶεν, ἤτοι πρὸς ἕτερον πρόσωπον μετάβασις γίνοιτ᾽ ἄν. οἷον τὸν ἄνθρωπον ὃν ἐλεῶ, τρέφω. ἢ κατ᾽ ἐπιστροφήν. ἐμαυτὸν, ὃν φιλῶ, θεραπεύω. Εἰ δ᾽ ἡ μὲν τῶν πτώσεων εἴη εὐθεῖα, ἡ δὲ πλαγία, ἐνίοτε μὲν καὶ πρὸς τὴν εὐθεῖαν ἡ μετάβασις τοῦ ῥήματος γίνεται ἀπὸ προσώπου εἰς πρόσωπον. ἐπαινεῖ τοὺς Δαναοὺς Ὅμηρος, ὃν τιμῶ. καὶ πάλιν. τέθνηκε Πάτροκλος, ὃν ἐφίλει ὁ Ἀχιλλεύς. ὡς ἐπὶ τὸ πλεῖστον δὲ πρὸς πλαγίαν. τιμῶ Ὅμηρον, ὃς τοὺς Δαναοὺς ἐπαινεῖ. Καὶ αἱ πλάγιαι δὲ τοῦ ὅς πρὸς τὰς εὐθείας ἁπάντων τῶν πτωτικῶν ἀναφέρονται. Ὅμηρος, οὗ, ᾧ, ὅν. Καὶ ἀνάπαλιν τῇ ὅς εὐθείᾳ πᾶσαι αἱ τῶν ἄλλων πτώσεις καταλλήλως συντάσσονται. Ὅμηρος, ὃς τὴν Ἰλιάδα συνέγραψε. Ὁμήρου ὅς. Ὁμήρῳ ὅς. Ὅμηρον ὅς. Ὅμηρε ὅς. Καὶ ἔτι αὐτοῦ ὅς πλάγιαι ταῖς τῶν πτωτικῶν πλαγίαις ἁπάσαις. Ὁμήρου οὗ, ᾧ. ὅν. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. καὶ ὁμοῦ ταῖς προθέσεσιν. ἀφ᾽ οὗ, σὺν ᾧ, περὶ ὅν. Ἔστι δ᾽ ὅτε καὶ μετὰ ὑποτακτικὸν εὐθὺς μετοχὴν ἐπάγομεν ὁμοιογενῆ καὶ ὁμοιόπτωτον καὶ ὁμοιάριθμον, ἢ πλαγιοσύντακτον κατὰ γενικὴν ἀεί, καὶ ἤτοι μόνην, ἢ σὺν ὀνόματι, ἢ ἐπιῤῥήματι. οἷον αἱροῦμαι ἀρετὴν, ἣν παροῦσαν οὐδεὶς ἄν με ἀφέλοιτο. Ἐπαινῶ τὸν τρόπον Σωκράτους, οὗ καθηγησαμένου, ἢ σπουδαίου γεγονότος, πλεῖστοι ὤναντο τὰ εἰς ἀρετήν. Καὶ σὺν ἐπιῤῥήματι. οὗ ἄριστα τὸν βίον διάγοντος. Μετοχὴν

etiã uariata persona (ut proprijs, & appellatiuis) subiungimus hoc pacto. laudo Socratẽ, quẽ ob uirtutẽ, q̃ in ipso summa fuit, multi imitati, ꝓfecerunt circa honesta. Præterea postpositiuũ sæpenumero nõ ad, quẽ casum exigit sequens uerbũ, redditur, sed ad, quẽ præcedens. Verum Atticũ est hoc. utor, quos habeo, libris. & fruor, q̃ habeo, bonis. Ad hęc postpositiuus interdũ articulus ad uer. plurale singulariter reddi inuenitur. ut homines punitis, q̃s quis falsum iuramentũ iurauerit. Interdũ uero cõtra. ne quisquã Græcorũ huc uenerit consultor, qui mihi semper cõsilia cõsulunt. Adde q̃d sumere quãdoq; licet loco subiũctiui articuli p̃positiuũ, & loco sequẽtis uerbi participiũ ipsum, eadẽ orationis manẽte sententia. Esse tñ eiusdẽ casus, generis, & numeri, q̃ sic trãssumũtur, tã inter se, q̃ cum p̃cedentibus casualibus oportet. Socrates, qui multa fecit bona, multa operatus bona. Quod si nõ referat p̃positiuus ad seq̃ẽs uerbũ, assumendũ est cognatũ, uel synonymũ quid, uel simile, sic. Socrates, cuius sermo de uirtute multus, maxime propter uirtutẽ laudati, uel longã de uirtute orationẽ habentis. Socrati, quo Plato præceptore usus est. docenti Platonẽ, uel institutori Platonis.

Attica constructio. *Ex Home. carmẽ Ilia. tertio.*

Defectiue.

Vsus articulorũ citra casualia expressa.

Plerũq; postpositiui articuli etiã cum defectu aliorum casualiũ ponũtur. uenit, qui mihi amicus. parco, quibus parcere dignũ. Verũ cõe hoc oĩbus relatiuis. Inueniũtur autẽ sine casuali interdũ p̃positiui articuli, sed tũ ad gtñ, & eundẽ antecedẽtis casum referunt subintellectũ. ut oratio quidẽ hęc prima, secũda uero q̃ philosophorũ. Respõdetur etiã huic nomini quis interrogatiuo per qui postpositiuũ cũ uerbo eodẽ p̃cedente, uel cũ altero quopiã. ut q̃s fecit Odysseã? qui & Iliada fecit. Et omisso uerbo extrinsecus à cõmuni. quis fecit Odysseã? qui & Iliada. Quãdo aũt cum altero, unice. quis Cerberũ ax inferno eduxit? q in Nemea leonẽ interfecit. Et cum p̃positiuo quidem articulo, & participio fieri potest redditio similiter. quis fecit Odysseam? & Iliadẽ modulatus. quis eduxit Cerberũ? & leonis interfector.

Compositio.

δὲ ἑτεροπροσωπικῶς, ὡς καὶ τοῖς κυρίοις καὶ προσηγορικοῖς, ἐπαγομένων ὧδε. ἐπαινῶ Σωκράτην, ὃν ἀρετῆς ἐν ἑαυτῷ οὔσης τελείας, πολλοὶ μιμησάμενοι ἐπέδωσαν περὶ τὰ καλά. Ετι τὸ ὑποτακτικὸν πολλάκις, οὐ πρὸς, ἣν πτῶσιν ἀπαιτεῖ τὸ ἐπαγόμενον ῥῆμα, ἀποδίδοται, ἀλλὰ πρὸς ἣν τὸ ἡγούμενον. Αττικὸν δὲ τὸ τοιοῦτο. χρῶμαι, οἷς ἔχω βυβλίοις. καὶ ἀπολαύω, ὧν ἔχω ἀγαθῶν. Ετι τὸ ὑποτακτικὸν ἐστι μὲν, οὗ πρὸς πληθυντικὸν ἑνικὸν ἀποδιδόμενον εὕρηται. οἷον ἀνθρώπους τίνυσθον, ὅς τις κ' ἐπίορκον ὀμόσσῃ. ἔστι δ' οὗ τὸ ἀνάπαλιν. μήτις ἀχαιῶν ἔνθα δ' ἐπέλθῃ βουληφόρος οἵ τέμοι ἀεὶ βουλὰς βουλεύουσι. Προσκεῖσθαι δὲ καὶ λαμβάνειν ἔνθα ἂν οἷόν τε ᾖ, ἀντὶ τοῦ ὑποτακτικοῦ προτακτικὸν, καὶ ἀντὶ τοῦ ἑπομένου ῥήματος μετοχὴν, τὴν αὐτὴν τοῦ λόγου φυλάττοντας ἔννοιαν. Εἶναί γε μὴν ὁμοιόπτωτα, καὶ ὁμοιογενῆ, καὶ ὁμοιάριθμα τὰ μεταληφθέντα ἀλλήλοις τε, καὶ τοῖς ἡγουμένοις πτωτικοῖς δεῖ. Σωκράτης, ὃς πολλὰ πεποίηκεν ἀγαθά, ὁ πολλὰ πεποιηκὼς ἀγαθά. Κἂν μὴ ᾖ δὲ τὸ ὑποτακτικὸν πρὸς τὸ ἐπαγόμενον ῥῆμα, μεταληπτέον τὸ σύστοιχον, ἢ συνώνυμόν τι, ἢ ὅμοιον, ὧδε. Σωκράτης, οὗ λόγος ἐπ' ἀρετῇ πολύς. τοῦ μάλιστα δι' ἀρετὴν ἐπαινουμένου, τοῦ πολὺν ἐπ' ἀρετῇ λόγον ἔχοντος. Σωκράτει, ᾧ Πλάτων διδασκάλῳ ἐχρήσατο. τῷ διδάξαντι Πλάτωνα, ἢ καθηγησαμένῳ Πλάτωνος.

Ελλειπτικῶς.

Πολλάκις δὲ τὰ ὑποτακτικὰ, καὶ σὺν ἐλλείψει ἑτέρων πτωτικῶν κεῖται. ἥκει, ὅς ἐμοὶ φίλος. φείδομαι, ὧν φείδεσθαι ἄξιον. Κοινὸν δὲ τὸ τοιοῦτο πάντων τῶν ἀναφορικῶν. Ελλειποπτωτεῖ δ' ἔτι καὶ τὰ προτακτικὰ, ἀλλὰ πρὸς γενικὴν, καὶ ἀφηγουμένην τὴν πτῶσιν συνεπιφέρονται νοουμένην. οἷον λόγος μὲν οὑτοσὶ πρῶτος, δεύτερος δὲ, ὁ τῶν φιλοσόφων. Αποδίδοται δὲ καὶ τῷ τις ἐρωτηματικῷ τὸ ὃς ὑποτακτικὸν μετὰ ῥήματος τοῦ αὐτοῦ τῷ προηγουμένῳ, ἢ καὶ ἑτέρῳ τῷ. οἷον τίς ἐποίησε τὴν ὀδύσσειαν; ὃς καὶ τὴν Ιλιάδα ἐποίησε. Καὶ ἄνευ ῥήματος ἔξωθεν ἀπὸ κοινοῦ. τίς ἐποίησε τὴν Οδυσσείαν; ὃς καὶ τὴν Ιλιάδα. ὅταν δὲ μεθ' ἑτέρου μοναχῶς. τίς κέρβερον ἐξ ἄδου ἀνήγαγεν; ὃς καὶ τὸν ἐν Νεμέᾳ λέοντα ἀνεῖλεν. καὶ σὺν προτακτικῷ δὲ ἄρθρῳ καὶ μετοχῇ γίνοιτ' ἂν ἡ ἀπόδοσις ὁμοίως. τίς ἐποίησε τὴν Οδυσσείαν; ὁ καὶ τὴν Ιλιάδα ποιήσας. τίς ἀνήγαγε κέρβερον; ὁ καὶ τὸν λέοντα ἀνελών.

Compositio.

Articulorũ coniunctio. Melius aũt plerunq; cõpositio orationis perficit̃, si articuli à proprijs casualibus ita seiũgant̃, ut quicq̃ intercedat aliud. ut curã habentes. Quo in loco sanè etiã contingit, ut inter sese continui iaceant articuli, neq; eandẽ constructionẽ seruent cũ proprijs casualibus, sed inuersam. Nam primus articulus semper secundi casualis sit. Loquor de duobus semper ultimis. unde si tres cõtinui fuerint, idem secundo ad primũ cõtinget, quẽadmodũ etiã primũ, & secundũ similiter ordinari cum suis ipsorũ casualibus nihil prohibet. cuiusmodi est, omnium assumentes curam. Verum hæc quidem non huius sunt consyderationis.

DE PRONOMINE.

Pronominis finitio. Ronomẽ uero (prout uox sonat) dictio est assumpta pro nomine. Etenim cũ noĩa prima, & secunda careãt persona, hoc q̃dem accessit, quod posset oẽm personã exhibere uerbis, ad orationis perfectionẽ. ego scribo, tu scribis, ille scribit.

DIVISIO.

Pronominis diuisio. Diuidit̃ aũt p̃nomẽ in primitiuũ, demõstratiuũ, & adpositiuũ, & in q̃cunq; alia diuisum est prius. Porrò aliud est perfectũ. hęc mihi. aliud inclinatiuũ. hęc mihi. Rursum q̃dã per se passa, siue reciproca. meipsum. q̃dã passa quidam extrinsecus. ut me.

Primitiua.

Primitiuorum usus. Primitiuorũ igitur noĩatiui semper ad discretionẽ personarũ aliarũ sumũtur. Nos diximus, & nõ alij. ego scripsi, & nõ alter. Obliqui uero (siquidẽ debitũ habeant tonum) & hi quoq; personas distinguũt. me audiuisti, & nõ alium. Quod si initialẽ abijciant uocalẽ, absolute dicunt̃ inclinatiui. audiuisti me, & dedisti mihi, & lætificasti me. Omnino autẽ & hæc, & quæ uocantur demõstratiua, & relatiua, non suscipiunt articulum.

Deriuatiua.

Deriuatorum usus. Deriuatiuis tñ articuli p̃ponunt̃, quẽadmodũ & adiectiuis etiã nominibus. Eandẽ enim cũ illis uim, eandẽq; omnino constructionẽ hñt, quã & adiectiua, & participia cum nomi-

Συνθήκη.

Βελτίων δὲ πολλάκις συνθήκη λόγου ἀποτελεῖται, τῶν ἄρθρων τοῖς ἰδίοις πτωτικοῖς μὴ συναπτομένων, ἀλλά τινος μεσολαβοῦντος ἑτέρου. οἷον, οἱ τὴν φροντίδα ἔχοντες. ἔνθα δὴ καὶ συμβαίνει ἐπ' ἄλληλά τε κεῖσθαι τὰ ἄρθρα, καὶ μὴν τὴν αὐτὴν σύνταξιν ἔχειν τοῖς ἰδίοις πτωτικοῖς, ἀλλ' ἀντίστροφον. τὸ γὰρ πρῶτον τῶν ἄρθρων ἀεὶ τοῦ δευτέρου τῶν πτωτικῶν γίνεται. λέγω δὲ περὶ δυοῖν ἀεὶ τελευτώντων. ὥστε κἂν τρία ἐπάλληλα ᾖ, ταυτὸ ἂν τῷ δευτέρῳ πρὸς τὸ πρῶτον συμβαίνειν, ὥς τό γε πρῶτον καὶ δεύτερον ὁμοιοτακτεῖσθαι τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς οὐδὲν ἂν κωλύοι. οἷον οἱ τὴν τῶν ἁπάντων ἀνειληφότες φροντίδα. ἀλλὰ τὰ μὲν τοιαῦτα ἑτέρας ἐστὶ θεωρίας.

ΠΕΡΙ ΑΝΤΩΝΥΜΙΑΣ.



Ἀντωνυμία δὲ κατὰ τοὔνομα λέξις ἐστὶ λαμβανομένη ἀντὶ ὀνόματος. τῶν γὰρ ὀνομάτων πρώτου καὶ δευτέρου ἀμοιρούντων προσώπου, ἥδε πρόσεισι δυναμένη πᾶν πρόσωπον παρέχειν τοῖς ῥήμασιν εἰς λόγου τελείωσιν. ἐγὼ γράφω, σὺ γράφεις, ἐκεῖνος γράφει.

ΔΙΑΙΡΕΣΙΣ.

Διαιρεῖται δὲ εἰς πρωτότυπον, καὶ δεικτικὴν, καὶ ἐπιταγματικὴν, καὶ ὅσα ἄλλα διώρισαι πρότερον. ἔστι δὲ καὶ ἡ μὲν ἐντελής. ταῦτα ἐμοί. ἡ δὲ ἐγκλιτική. ταῦτά μοι. καὶ αἱ μὲν αὐτοπαθεῖς εἴτ' οὖν ἰδιοπαθεῖς. ἐμαυτόν. αἱ δὲ, ἑτεροπαθεῖς. οἷον ἐμέ.

Πρωτότυποι.

Τῶν μὲν οὖν πρωτοτύπων αἱ εὐθεῖαι πρὸς ἀντιδιαστολὴν ἀεὶ ἑτέρων λαμβάνονται. ἡμεῖς εἴπομεν καὶ οὐχ ἕτεροι, ἐγὼ γέγραφα καὶ οὐχ ἕτερός τις. αἱ δὲ πλάγιαι, ἣν μὲν ὀρθοτονῶνται, καὶ αὗται δὴ πρόσωπα διαστέλλουσιν. ἐμοῦ ἤκουσας, καὶ οὐκ ἄλλου. ἣν δὲ τὸ ἀρκτικὸν ἀποβάλλωσι φωνῆεν, ἀπολύτως λέγονται ἐγκλινόμεναι. ἤκουσάς μου, καὶ ἔδωκάς μοι, καὶ εὔφρανάς με. Πάντη δὲ αὗταί τε, καὶ αἱ καλούμεναι δεικτικαὶ, καὶ ἀναφορικαὶ, οὐκ ἐπιδέχονται ἄρθρον.

Παραγωγοί.

Τῶν γε μὴν παραγώγων τὰ ἄρθρα προτίθεται, ὥσπερ καὶ τῶν ἐπιθέτων δὴ καὶ τῶν ὀνομάτων. ταυτὸν γάρ πως ἐκείνοις δύνανται. ὅλως τε σύνταξιν ἔχουσιν, ἣν τὰ ἐπίθετα, καὶ αἱ μετοχαί,

cum nominibus proprijsq́,& appellatiuis,nẽpe in ſimili genere, in ſimili caſu,& ſimili numero,cũ proprijs,& appellatiuis cõſtruuntur.mea domus,mea habitatio,meũ domicilium,noſter pater,noſtra mater, noſter filius.Neceſſe eſt etiam poſſeſſiuis (quæ uerbo primæ uel ſecundę perſonæ cõnectuntur) primitiua adiungi,perinde ac nominibus. ut tu meus puer,diſcis, ego uero tuus pater,doceo. Quemadmodũ tu quidem Plato doceris, ego uero Socrates doceo. Rurſum primæ & ſecũdæ perſonæ poſſeſſiua cum aſſumptis extrinſecus perſonis apte coniunguntur. ut meus puer te, uel illum diligit. Tertiæ uero,ſine uoce altera poſſeſſorẽ ſignificãte, copulari cum diuerſa perſona nolunt. Solœciſmus enĩ eſt, ſi quis dicat. ſuus filius diligit me. & igitur ſuus ipſorum puer, dicendum, uel puer ipſorum ſine poſſeſſiuo.

Retranſitio.

Quãdo fiat perſonæ in pſonam mutua trãſitio.

In reciprocatione tamẽ bene ſe habet cõſtructio,ſi ſuũ ſolum habet.ut pronomina primæ,& ſecundæ perſonæ. Voco aũt retranſitionẽ, qñ ab utraq́ perſona in utranq́ tranſitio conſpicitur uerbi. ut rogant te, ſuis auxiliari, & deos, deasq́ precor omneis, ut quantã beneuolentiã habere perago & erga hanc urbẽ & uos omneis,tãtundem fore mihi apud uos. Poſſeſſiua etiam(ut paucis dicã) ad ea referunt,quæ poſſidẽt,nõ quæ poſſident. ut lumẽ meorũ oculorũ. nõnunq̃ tamẽ ad ea,quæ poſſidentur. meũ lumẽ oculorũ. Simile uero & hoc. Noſti Neptune meũ in pectoribus conſilium.

Ex procemio oratiõis Demoſthe. περὶ στεφάνου.

Differentia.

Iliad. α.

Differt aũt in conſtructione deriuatiuũ pronomẽ à primitiuo,quatenus ſanè primitiuũ adiungitur uerbo,& nomini, & participio. ut Filiam aũt mihi ſoluite charam. & quidẽ mea conſilia intelligebant inuito me. Et tã in eadẽ perſona, q̃ in diuerſa. Ille imperiũ nactus, nihil ducebat alios. hic uero maxima circa ipſum collecta manu, ibat in hoſteis. ut ſanè & illud Demoſt. cum preparaſſet libellum non in me,ſed in auunculũ meum. Deriuatum uero nominibus ſolis. luant Danai meas lachrymas.

Demoſthe. in oratione κατὰ ἀνδροτίωνος.

Verba Chryſæ, Iliad. α.

Recipro-

πρὸς τὰ κύριά τε, καὶ προσηγορικά, ὁμοιογενῶς δὲ, καὶ ὁμοιοπτώτως, καὶ ὁμοιαρίθμως τοῖς κυρίοις τε, καὶ προσηγορικοῖς συντάσσονται. ὁ ἐμὸς οἶκος, ἡ ἐμὴ οἰκία, τὸ ἐμὸν οἴκημα. ὁ ἡμέτερος πατὴρ, ἡ ἡμετέρα μήτηρ, τὸ ἡμέτερον τέκνον. Ἀνάγκη δὲ ταῖς κτητικαῖς, ταῖς δὲ ῥήματι πρώτου, ἢ δευτέρου προσώπου συναπτομέναις, τὰς πρωτοτύπους συντάττειν, καθάπερ καὶ τοῖς ὀνόμασιν. οἷον σὺ ὁ ἐμὸς παῖς, μανθάνεις, ἐγὼ δὲ ὁ σός γε πατὴρ, διδάσκω. ὥσπερ σὺ μὲν ὁ Πλάτων διδάσκῃ, ἐγὼ δὲ ὁ Σωκράτης διδάσκω. Ετι αἱ μὲν τοῦ πρώτου, καὶ δευτέρου προσώπου κτητικαὶ, τοῖς ἔξωθεν εὖ μάλα προσώποις συνάπτονται. οἷον ὁ ἐμὸς παῖς σὲ ἢ ἐκεῖνον φιλεῖ. αἱ δὲ τοῦ τρίτου, δίχα τοῦ ἑτέρου τὸν κεκτημένον δηλοῦντος αὐτὸν, συνταχθῆναι πρὸς ἕτερον πρόσωπον οὐκ ἐθέλουσι. σολοικισμὸς γὰρ τὸ φάναι. ὁ σφότερος παῖς φιλεῖ ἐμέ. καὶ οὖν ὁ σφέτερος αὐτῶν παῖς ῥητέον, ἢ ὁ παῖς αὐτῶν, ἄνευ τοῦ κτητικοῦ.

Αντιμετάβασις.

Κατὰ μέντοι γε ἀντιμετάβασιν εὖ ἔχει συντάξεως τὸ σφέτερον μόνον. ὡς καὶ τὰ τοῦ πρώτου καὶ δευτέρου προσώπου. καλῶ δὲ ἀντιμετάβασιν, ἵνα ἑκατέρωθεν ἐπὶ θάτερα μετάβασις θεωρεῖται ῥήματος. οἷον δέονταί σου τοῖς σφετέροις ἐπικουρῆσαι, καὶ τοῖς θεοῖς εὔχομαι πᾶσι, καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει, καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ᾽ ὑμῶν. Ετι αἱ κτητικαὶ ὡς ἁπλῶς εἰπεῖν, πρὸς τὰ ἔχοντα, οὐ πρὸς τὰ ἐχόμενα. οἷον τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν. ἐνίοτε μέντοι καὶ πρὸς τὰ ἐχόμενα. τὸ ἐμὸν φῶς τῶν ὀφθαλμῶν. ὅμοιον δὲ καὶ τό. ἔγνως ἐννοσίγαιε ἐμὴν ἐνὶ στήθεσι βουλήν.

Διάφορα.

Διαφέρει δὲ κατὰ περὶ τὴν σύνταξιν ἡ παράγωγος ἀντωνυμία τῆς πρωτοτύπου, ἡ δὲ ἡ μὲν πρωτότυπος συντάσσεται ῥήματι καὶ ὀνόματι καὶ μετοχῇ. παῖδα δέ μοι λύσατε φίλην. καὶ μὲν μεῦ βουλέων ξύνιον ἀέκοντος ἐμοῖο. καὶ ταυτοπροσωπικῶς τε, καὶ ἑτεροπροσωπικῶς. ἐκεῖνος γὰρ ἀρχῆς λαβόμενος παρ᾽ οὐδὲν ἦγε. τοὺς ἄλλους. ὁ δὲ μεγίστης περὶ αὐτὸν συνειλεγμένης δυνάμεως ᾔει ἐπὶ τοὺς πολεμίους. οἷον δὴ καὶ τὸ Δημοσθένους. κατασκευάσας γραφὴν οὐκ ἐπ᾽ ἐμὲ, ἀλλ᾽ ἐπὶ τὸν θεῖόν μου. ἡ δὲ παράγωγος ὀνόμασι μόνοις. τίσειαν Δαναοὶ ἐμὰ δάκρυα.

Reciprocatio.

In reciprocatione tamē neq; primitiuo (cum eadē persona & agit, & patitur) neq; deriuatiuo utimur, sed cōpositis. ut nobis ipsis auxiliemur. &, uide teipsum.

Relatio.

Accidit p̄terea & pronomini relatio in tertia pers. per quā prędicta quędā noīa cum recordatione per p̄nomen repetunt̄, cū sumi nō possint denuo. Iuppiter uero ut Troianos & Hectora nauibus admouit, hos siuit inibi tolerare laborē, ac ęrūnas indesinēter, ipse aūt retroflexit oculos splēdidos. Si enim quis Iuppiter rursum dicat, & non ipse, non alliget utrūq; ad Iouē, sed principiū quasi orōis alterius faciet. Affine uero huic. & præuenit ad Cyrum ipsum magis amās. Vbi nō solū per p̄nomē reddidit, ut in cæteris pronominibus animaduertere licet, uerū relatio facta est, quę ne in nominibus quidem fieri potest, nisi quæ assumpserint articulos.

Initium Iliad. v.

Demonstratiua.

Iam non quemadmodū relatiua, itidē & demōstratiua uice antedictorū nominū sumunt̄, sed eorū q̄ demonstratiue proferri nō possunt. Peculiare sanè pronominib⁹ & illud, iuxta diuersas uoceis, diuersas reddere personas tertias. Nam uerba una uoce pluribus etiā tertijs conueniunt personis. dicimus itaq;, quod scribit Socra. uel Callias, uel quicūq; alius. nō itē uero & in pronoīe similiter. Definiūtur aūt pronoīm personæ non solū pręsentiū demonstratione, sed & relatione & animaduersione absentiū. Quāobrē sanè & ab Aristarcho dictū est, cognata esse personis pronomina. Definiunt̄ em̄ similiter per omnem personā, aut demōstratione, aut relatione, cū uerba in tertia persona indefinita sint, nisi q̄ excepti actus. ut tonat, fulgurat, pluit. Nam deus subintelligendus, qui hęc agit. Quādoquidē tertia nō multū in his definita est. Gn̄aliter aūt quēadmodū noīa, ita & pronomina cū uerbis in casu unoquoq; cōstruuntur. Et cum rectis quidē intrāsitiue. ut hic currit. Cum obliquis uero transitiue. huius misereor, huic gratificor, hunc laudo. Nisi uerba absoluta quidem & indepen

Αὐτοπαθεία.

Ἐπ' αὐτοπαθείας γε μὴν οὔτ' οὖν πρωτοτύπῳ, ὅταν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε καὶ πάσχῃ, οὔτ' οὖν παραγώγῳ χρώμεθα, ἀλλὰ τοῖς συνθέτοις. ἑαυτοῖς βοηθοῦμεν. καὶ ὅρα σαυτόν.

Ἐπαναφορά.

Συμβαίνει δὲ τῇ ἀντωνυμίᾳ καὶ ἐπαναφορὰ ἐν τρίτῳ προσώπῳ, δι' ἧς προειλημμένα ἄττα ὀνόματα σὺν ἀναμνήσει ἀντωνομάζοιτ' ἄν, ληφθῆναί γε μὴ δυνάμενα ἔτι. Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν, Τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν καὶ ὀϊζὺν Νωλεμέως, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ. εἰ γάρ τις Ζεὺς πάλιν λέγοι καὶ οὐκ αὐτὸς, ὃν συνάξει ἀμφότερα πρὸς τὸν Δία, ἀλλ' ἀρχὴν ὥσπερ λόγου ἑτέρου ποιήσεται. Ἐγγὺς δέ τι τούτου καὶ τό. ὑπῆρχε τῷ Κύρῳ αὐτὸν μᾶλλον φιλοῦσα. Οὐ μόνον δὴ ἀντωνόμασαι, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἀντωνυμιῶν ἐπινοῆσαί ἐστιν, ἀλλὰ καὶ ἀναφέρεταί γε, ὅσπερ οὐκ ὀνομάτων ἂν εἴη, ἀλλ' ἢ προσλαβόντων τὰ ἄρθρα.

Δεικτικαί.

Οὐ καθάπερ δὴ αἱ ἀναφορικαί, οὕτω τοι καὶ αἱ δεικτικαὶ ἀντὶ προλεχθέντων ὀνομάτων λαμβάνονταί τινων, ἀλλ' ἀντὶ τῶν δεικτικῶς ἐξενεχθῆναι μὴ δυναμένων. Ἴδιον γέ τοι τῶν ἀντωνυμιῶν καὶ τὸ κατὰ διαφόρους φωνάς, διάφορα ποιεῖν πρόσωπα τρίτα. Τὰ γάρ τοι ῥήματα κατὰ μίαν φωνὴν πλείοσι τρίτοις ἀνήκει προσώποις. λέγομεν οὖν, ὅτι γράφει Σωκράτης, ἢ Καλλίας. ἢ ὁστισοῦν. οὐκ ἔτι δὲ καὶ ἐπ' ἀντωνυμίας ὡσαύτως. Ὥρισται δὲ τὰ τῶν ἀντωνυμιῶν πρόσωπα οὐ μόνῃ τῇ τῶν παρόντων δείξει, ἀλλὰ καὶ τῇ ἀναφορᾷ καὶ ἀναπολήσει τῶν ἀπόντων. Ὅθεν δὴ καὶ τῷ Ἀριστάρχῳ εἴρηται, συζύγους εἶναι τοῖς προσώποις τὰς ἀντωνυμίας. ὁρίζεται γὰρ ὁμοίως κατὰ πᾶν πρόσωπον, ἤτοι ἐνδείξει, ἢ ἀναφορᾷ, τῶν ῥημάτων ἐν τρίτῳ προσώπῳ ἀοριστούντων, εἰ μή πω ἐξαίρετόν τι. οἷον βροντᾷ, καὶ ἀστράπτει, καὶ ὕει. τὸν γὰρ θεὸν ἐπινοητέον, ὡς ταῦτ' ἐνεργοῦντα. ἐπεὶ τό γε τρίτον οὐ πάνυ τι οὐδ' ἐπὶ τούτων γε ὥρισται. Καθόλου δὲ ὥσπερ τὰ ὀνόματα, οὕτω καὶ αἱ ἀντωνυμίαι τοῖς ῥήμασι κατὰ πτῶσιν ἑκάστην συντάσσονται. καὶ ταῖς μὲν εὐθείαις ἀμεταβάτως. οἷον οὗτος τρέχει. ταῖς δὲ πλαγίαις μεταβατικῶς. τούτου φείδομαι, τούτῳ χαρίζομαι, τοῦτον ἐπαινῶ. ἢν μὴ τὰ ῥήματα ἀπόλυτα ἄττα

& independentia sint. ut uiuo, ditor, & ualeo.

Discretiuum.

Cæterũ apponimus rectũ uerbis plerũq;, nõ tanq̃ qui non insit uirtute, & intelligatur, sed uel maioris significãtiæ causa, uel discretionis. Distinguit enim maxime personas pronomẽ. Preterea & si cõiunctio assumatur sic. tu quidem docebas literas, ego uero ueniebã ad ludum.

Demosthe. in oratione περὶ στεφάνου.

Composita.

Porrò compositorũ usus (ut dictũ est) quoties eadem persona & agit, & patitur. horũ autẽ unũquodq; in agẽs ipsum retorquetur, uel in aliquid illius tanq̃ refractiuum. seruo meipsum, seruo quæ meiipsius. Dici potest & quæ meiipsius, me seruãt. Itaq; fit dupliciter circa reciprocum possessiuũ cõstructio. siue à possessore in rẽ possessam, siue contra. Vbi etiã assumere licet nomẽ equiualẽs, quale est peculiare, uel ꝓpriũ, uel tale quid. Socrates suiipsius filium instituit, & propriũ filiũ. Licet & nomini ipsi gtm̃ pronominis cõpositi adiungere. relinquo hæredẽ proprium meiipsius filiũ. amat unusquisq; ꝓpriũ suiipsius filiũ. Homeri proprius liber, propria loquẽtis cura. Cõmune etiã & hoc ipsum possessiuis. ut tuũ utiq; est ô Socrates, & hoc cognoscere, omnia iusta inter nos cognoscẽtis, & meam quidẽ ipsius miseri uitã. Nam illud, me ipsum, intẽsiue dicitur, ad imitationẽ, me iuuat, absoluti. Verũ quia cõpositum singulariter solũ profertur, ideo cum relatiuo componimus simplicia, hisq; utimur in eodẽ casu tã in duali, q̃ in plurali. ut nos ipsos iuuamus, nobis ipsis iungimur, uos ipsos iuuatis. Verũ in tertia persona nõ similiter. In pluralibus tamen ad hunc modũ. nostrum ipsorũ, nobis ipsis, nos ipsos, uestrum ipsorũ, uobis ipsis. Licet etiam in plurali dicere & suiipsorum, sibiipsis, seipsos, cõmuniter per omneis personas. seipsos iuuamus, iuuatis. iuuant. Verũ non itẽ & seipsum iuuo, aut iuuas. Deprehenditur em̃ incongruentiã habere à meipsum, ut dictum est.

Platonis in Gorgia.

Mutuopassum.

Cõsimilis aũt est quodãmodo his & inuicẽ cõstructio. Nã loco reciprocationis uniuersi aggregati, & hęc in cõ-

plexu

καὶ ἄσχετα ᾖ, οἷον τὸ ζῶ, καὶ πλουτῶ, καὶ ὑγιαίνω.

Διακριτικόν.

Προσίθεμεν δὲ τὴν εὐθεῖαν τοῖς ῥήμασι πολλαχῆ, οὐχ ὡς μὴ ἐνοῦσαν δυνάμει, καὶ νοουμένην, ἀλλ' ἤτοι πλείονος ἐνδείξεως ἕνεκα, ἢ διαστολῆς. Διακριτικωτάτη γάρ τοι πρόσωπον ἡ ἀντωνυμία. ἄλλως τε κἂν σύνδεσμος προσλαμβάνηται ὧδε. σὺ μὲν ἐδίδασκες τὰ γράμματα, ἐγὼ δὲ ἐφοίτων.

Συνθετοί.

Τῶν δὲ συνθέτων χρῆσις μὲν ὥσπερ εἴρηται, ἐπὰν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε, καὶ πάσχῃ. ἑκάστη δὲ ἐστὶ τὸ ἐνεργοῦν αὐτὸ ἐπιστρέφει, ἢ ἐπί τι τῶν αὐτοῦ, ὡσπερεὶ ἀντανακλωμένη. σώζω ἐμαυτόν, σώζω τὰ ἐμαυτοῦ. ἔστι δὲ φάναι, καὶ τὰ ἐμαυτοῦ ἐμὲ σώζει. ὥς τε διχῶς ἡ περὶ τὸ αὐτοπαθὲς κτητικὸν σύνταξις. ἤτοι ἀπὸ τοῦ κεκτημένου ἐστὶ τὸ κτῆμα, ἢ ἀνάπαλιν. ἔνθα δὴ καὶ μεταλαμβάνειν ἔξεστιν ὄνομα ἰσοδυναμοῦν. οἷον τὸ ἴδιον, ἢ οἰκεῖον, ἢ τοιοῦτό τι. Σωκράτης τὸν ἑαυτοῦ παῖδα παιδεύει. καὶ τὸν ἴδιον παῖδα. πρός τε αὐτῷ τῷ ὀνόματι καὶ τὴν γενικὴν τὰ συνθέτου συντάσσειν. ἀφίημι κληρονόμον τὸν ἴδιον ἐμαυτοῦ παῖδα. φιλεῖ πᾶς ὁστισοῦν τὸν ἴδιον ἑαυτοῦ υἱόν. Ὁμήρου ἴδιον τὸ βυβλίον, τῇ ἰδίᾳ τοῦ λέγοντος ἐπιμελείᾳ. Κοινὸν δὲ ταυτὸ τοῦτο καὶ πρὸς τὰς κτητικάς. οἷον σὸν ἄρα δεῖν ὦ Σώκρατες καὶ τοῦτο γνῶναι τοῦ πάντα τὰ δίκαια ἐν ἡμῖν εἰδότος, καὶ τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου βίον. Τὸ δ', ἐμὲ αὐτόν, ὠφελεῖ ἐπιτατικῶς λέγεται, πρὸς τὸ ἐμὲ ὠφελεῖ ἀπολελυμένον. Ὅτι δὲ τὸ σύνθετον ἐστὶ μόνων τῶν ἑνικῶν, διὰ τοῦτο τῇ ἀναφορικῇ συντάσσοντες ταῖς ἁπλαῖς χρώμεθα ὁμοιοπτώτως ἐπί τε δυϊκοῦ, καὶ πληθυντικοῦ. οἷον νῶι αὐτὼ ὠφελοῦμεν, νῶϊν αὐτοῖν ἁπτόμεθα, σφῶϊ αὐτὼ ὠφελεῖτον. Οὐκέτι δὲ καὶ ἐπὶ τοῦ τρίτου ὁμοίως. Κἀπὶ τῶν πληθυντικῶν δ' ἔτοι ὡσαύτως. ἡμῶν αὐτῶν, ἡμῖν αὐτοῖς, ἡμᾶς αὐτούς, σφῶν αὐτῶν, σφίσιν αὐτοῖς, σφᾶς αὐτούς. Ἔστι γε μὴν πληθύνοντι λέγειν, καὶ ἑαυτῶν, ἑαυτοῖς, ἑαυτοὺς κοινῇ κατὰ πάντων προσώπων, ἑαυτοὺς ὠφελοῦμεν, ὠφελεῖτε, ὠφελοῦσιν. οὐκέτι δὲ καὶ ἑαυτὸν ὠφελῶ, ἢ ὠφελεῖς. διαλέγχεται γάρ τοι ἀκαταλλήλως ἔχον ὑπὸ τοῦ ἐμαυτόν, ἢ σαυτόν, ὡς εἴρηται.

Ἀλληλοπαθές.

Παραπλήσια δέ πως τουτοισί, καὶ ἡ τοῦ ἀλλήλου σύνταξις. δι' αὐτοπάθειαν γὰρ τοῦ ὕλου ἀθροίσματος καὶ ταῦτα ἐστὶ τῶν συμ-

πλεκομένων

plexu accipientes dicimus. inuicem iuuamus, iuuatis, iuuant. Sed quoniā non partes singulæ à se ipsis patiūtur, sed ab alia alia uicissim, nuncupetur nobis non reciprocatio huiusmodi, sed mutua passio. Manifestum igitur, ut talia pronomina, uerba passiua non possint admittere. Etenim reciprocatio, actus in seipsum agentis est, ut dictum est.

DE PRAEPOSITIONE.



Aeterum præposita dictio omnibus oratiōis partibus, eamq; ob rem pp̄ositio noīata, diuisa est quidē prius. Hic uero quonā pacto construatur, cōsyderemus. Præponit itaq; orōis partibus, aut per cōpositionē, aut per appositionē. Cōpositionis em̄ est. cōtubernalis, aduena, domesticus, inquilinus. Appositionis uero. in Atticā, uel de Attica. Hāc aūt quæ ex appositione est, cōstructionē significare uolūt, pp̄ositionē dicentes pp̄oni tā in cōpositione, q̄ in construc.

Præpositiuæ coniunctiones. Vident aūt pp̄ositiones cōiunctionalis cōstructionis esse declaratiuę. Vñ & à Stoicis pp̄ositiuæ cōiuncti. uocabāt. Nā propter q̄d dolet, idē qđ gratia cuius dolet, notat. & ex negligētia, idē qđ ob negligentiā. Nec sanè latet, si & quòd cōiunctio, assumpta per, aut scđm, cōstructionē retineat cōiunctionalē. nēpe uerbis semper ex cōpositione adsunt pp̄ositiones. ut describo, & ptestor. Fitq; intrinsec⁹ inflexio. ut describebā, siq̄d aliud à simplici rep̄sentet cōpositū. Qđ si nihil amplius, extrinsecus fit inflexio, uelut & in simplicibus. dormio, bam. sedeo, bā. Porrò pp̄ositio per appositionē cū recto, aut utō nunq̄ ordinat. Cōstruit aūt cum obliqs ad hunc modū. In.

Ἐν prępositio quidē semper cū dtō. in domo, in foro. illud uero in inferni, & in præceptoris, per defectū dicit. Est itaq; hic intelligēdus loco, aut domo, dtūs. Εἰς.

Εἰς sempet cum actō. ad concionē, ad forū. Cęterū ad inferni, & ad pceptoris defectiue dicit, sicut & in ἐν. At em̄ in rebus quidē inanimatis εἰς, in animatis uero πρὸς maxime utendum est. eo in forum, mitto aurum ad te. Magis proprie

πλεκομένων λαμβάνοντες λέγομεν. ἀλλήλους ὠφελοῦμεν, ὠφελεῖτε, ὠφελοῦσιν. ὅτι γε μὴν οὐ τὰ μέρη καθ' ἕκαστον ὑφ' ἑαυτῶν πάσχει, ἀλλ' ὑφ' ἑτέρου ἀμοιβαδόν, προσαγορευέσθω ἡμῖν μὴ αὐτοπαθὲς τὸ τοιοῦτο, ἀλλ' ἀλληλοπαθές. Δῆλον δ' ἄρα καὶ ὡς αἱ τοιαῦται ἀντωνυμίαι ῥήματα οὐκ ἂν ἐπιδέχοιντο παθητικά. Τὸ γὰρ αὐτοπαθὲς ἐνέργεια τοῦ εἰς ἑαυτὸ ἐνεργοῦντός ἐστιν, ὡς εἴρηται.

ΠΕΡΙ ΠΡΟΘΕΣΕΩΣ.



Η δὲ προτιθεμένη λέξις πάντων τῶν τοῦ λόγου μερῶν καὶ διὰ τοῦτο πρόθεσις ὀνομαζομένη, διήρηται μὲν πρότερον. ἐνταῦθα δὲ ὅπως συντάξεται θεωρῶμεν. προτίθεται μὲν οὖν τῶν τοῦ λόγου μερῶν, ἢ κατὰ σύνθεσιν, ἢ κατὰ παράθεσιν. συνθέσεως μὲν γὰρ τὸ σύνοικος, πάροικος, ἔποικος, μέτοικος. παραθέσεως δὲ τὸ ἐπὶ τὴν Ἀττικήν. ἢ κατὰ τῆς Ἀττικῆς. ταύτην δὲ τὴν ἐκ παραθέσεως σύνταξιν δηλοῦν βούλονται, καὶ οἱ προτίθεσθαι λέγοντες ἔντε συνθέσει, καὶ συντάξει. Ἐοίκασι δ' αἱ προθέσεις συνδεσμικῆς συντάξεως γενόμεναι παρεμφαντικαί. ὅθεν καὶ τοῖς Στωικοῖς προθετικοὶ σύνδεσμοι ἐκαλοῦντο. τὸ γὰρ διατί λυπῇ, τὸ ἕνεκα τίνος λυπῇ παρεμφαίνει. καὶ τὸ ἐκ ῥαθυμίας, τὸ ἕνεκα ῥαθυμίας. οὐ δὴ οὖν ἀπεμφαῖνον, εἰ καὶ τὸ ὅτι παραδεξάμενον τὴν διὰ καὶ κατὰ, σύνταξιν ἐπέχει συνδεσμικήν. τοῖς γε μὴν ῥήμασιν ἀεὶ κατὰ σύνθεσιν αἱ προθέσεις. οἷον καταγράφω, καὶ προκαλοῦμαι. ἔνδοθέν τε ἡ κλίσις κατέγραφον, ἔτι τοῦ ἁπλοῦ διαφέρον δηλοῦται ἐκ τῆς συνθέσεως. εἰ γὰρ μηδέν τι πλέον, ἔξωθεν ἡ κλίσις καθάπερ καὶ τοῖς ἁπλοῖς. καθεύδω, ἐκάθευδον. καθέζομαι, ἐκαθεζόμην. πρόθεσις δὲ κατὰ παράθεσιν σὺν εὐθείᾳ, ἢ κλητικῇ οὐδέποτε τάξεται, συντάσσεται δὲ ταῖς πλαγίαις ὧδε.

Ἐν.

Η μὲν ἐν, ἀεὶ δοτικῇ. ἐν οἴκῳ. ἐν ἀγορᾷ. τὸ δ' ἐν ἅδου, καὶ ἐν διδασκάλου, ἐλλειπτικῶς. δεῖ γὰρ κἀνταῦθ' ἐπινοεῖν τὴν τόπῳ καὶ οἴκῳ δοτικήν.

Εἰς.

Η δὲ εἰς, ἀεὶ αἰτιατικῇ. εἰς ἐκκλησίαν, εἰς ἀγοράν. τὸ δὲ εἰς ἅδου, καὶ εἰς διδασκάλου ἐλλειπτικῶς, ὡς καὶ ἐπὶ τῆς ἐν. ἀλλὰ γὰρ ἐπὶ μὲν ἀψύχων τῇ εἰς, ἐπὶ δ' ἐμψύχων τῇ πρὸς μάλιστά γε χρηστέον. πορεύομαι εἰς ἀγοράν. πέμπω τὸ χυσίον πρὸς σέ. ἰδιώ-

gis proprie tamē εἰς utimur in laudē, & in relationē. πρὸς aūt cōtra. Retulit em̄ ad prætorē dicimus, & hymnos in Apollinē. Itē belligerat aduersus finitimos. Iuxta quam sententiā & εἰς est q̄n̄q; utendum. ut ingrati fuerūt in nos.

Ἐξ.

Cęterū ἐξ semper cū gtō. ex Attica, ex ędibus. Σύν.

Σύν uero semper cū dtō. cum deo, cū ratione. Πρός.

Πρός autem cum gtō, & datiuo, & actō. Cum genitiuo quidē, quādo à persona significat motū. à deo bona. Aut cum refertur ad iuramentū. uenit per deū. Aut cū coràm sig. Coràq; dijs beatis, coràq; immortalibus hoïbus. Aut officiū. nō est medici sapiētis dicere incantationes. Cum dtō aūt, q̄n̄ & propè, & adiacens signi. ut antè pedes. Cū actō uero, q̄n̄ motū ad rē quāpiā animatā maxime, ut alibi iam dictū est. Itē q̄n̄ uel habitudinē aliquā, uel rationē notat. ut sicut duo ad quatuor, ita & q̄tuor ad octo. Aut exemplū. cantat ad tibiā.

Homericū. | Sophocl. in Aiace flagellifero.

Πρό.

Porrò πρὸ semper cū gtō. p̄ foribus, ante tēpus. Ἀνά.

Ἀνά aūt cum accusatiuo. perq; arma & atrū sanguinē.

Homericū.

Κατά.

Κατά uero cum gtō, & actō construit. Cum gtō quidē in delatione, & accusatione. ut cōtra Aeschinē oratio. Et q̄n̄ super, & circa aliquid, uel de aliquo signat. super terrā sedeo, de hoïe animal. Illud uero, ab Olympi uerticibus, p̄ ab. Cum actō itē, q̄n̄ cōparationis est, aut similitudinis. ut secundū Homerū, secundū mentē p̄cedit. Aut circa aliquid, & in aliquo. secundū uiā hęc faciebant, & manserūt in regione. Aut tēpus. nostris tēporibus factus uir clarus.

Ex Home. hemistichiū

Διά.

Διά uero cū gtō, si actionis alicuius, aut interualli nota est. ut per te hęc forsan meli⁹ facta fuissent. Et ibā per forū. Cū actō aūt, si causæ. p̄pter te hęc scribo. Hom. t̄n̄ & medīū cum actō interdū p̄fert. perq; arma & atrū sanguinē.

Μετά.

Μετά autē cum gtō quidē, q̄n̄ simul significat. ut suauis cum amicis uita. Iam illud, cum tertijs imperauit, poëticū. Porrò actō, q̄n̄ post. post festū, & Plato post Socratē.

Iliad. ο.

Παρά.

τερον δὲ τῇ μὲν εἰς τὸ ἐπαίνου καὶ ἀναφορᾶς. τῇ δὲ πρός, τὸ ἀνάπαλιν. ἀνήνεγκε μὲν γὰρ εἰς τὸν ἄρχοντα φαμέν, καὶ ὕμνους εἰς Απόλλωνα. πολεμεῖ δὲ πρὸς ὁμόρους. καθ᾽ ἣν δὴ ἔννοιαν, καὶ τῇ εἰς δεῖν ὅτε χρήσιον. ἠγνωμονήκεσαν εἰς ἡμᾶς.

Ἐξ.

Η δὲ ἐξ, ἀεὶ γενικῆς. ἐξ Ἀττικῆς, ἐκ μεγάρων. Σύν.

Η δὲ σύν, ἀεὶ δοτικῆς. σὺν θεῷ, σὺν λόγῳ. Πρός.

Η δὲ πρός, γενικῆ, καὶ δοτικῆ, καὶ αἰτιατικῆ. γενικῇ μὲν, ὅταν τὴν ἀπὸ προσώπου σημαίνῃ κίνησιν. πρὸς θεοῦ τἀγαθά. ἢ τάσσεται ἐπὶ ὅρκου. ἧκε πρὸς θεοῦ. ἢ τὸ ἐναντίον δηλοῖ. πρός τε θεῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων. ἢ τὸ καθῆκον. οὐ πρὸς ἰατροῦ σοφοῦ * θροεῖν ἐπῳδάς. δοτικῇ δὲ ὅταν τὸ ἐγγύς τι καὶ παρακείμενον. οἷον πρὸς τοῖς ποσίν. αἰτιατικῇ δὲ, ὅταν κίνησιν πρὸς ἔμψυχον μάλιστά τι, καὶ ὡς ἄλλως δὴ εἴρηται. καὶ ἔτι ὅταν, ἢ σχέσιν τινά, καὶ λόγον. ὡς τὰ δύο πρὸς τὰ τέσσαρα, οὕτω καὶ τὰ τέσσαρα πρὸς τὰ ὀκτώ. ἢ παράδειγμα. ᾄδει πρὸς αὐλόν. Πρό. * al. θρηνεῖν.

Η δὲ πρό, ἀεὶ γενικῆς. πρὸ τῶν θυρῶν, πρὸ τοῦ χρόνου. Ανά.

Η δὲ ἀνά, ἀεὶ αἰτιατικῆς. ἀνάτ᾽ ἔντεα καὶ μέλαν αἷμα.

Κατά.

Η δὲ κατά, γενικῆ, καὶ αἰτιατικῆ. γενικῇ μὲν ἐπὶ καταφορᾶς καὶ κατηγορίας. κατὰ Αἰσχίνου λόγος. καὶ ὅταν τὸ ἐπάνω καὶ περί τι, ἢ ὑπὸ τὸ δηλοῖ. κατὰ γῆς κάθημαι, κατ᾽ ἀνθρώπου, τὸ ζῶον. Τὸ δὲ κατ᾽ οὐλύμποιο καρήνων, ἀντὶ τοῦ ἀπό. Αἰτιατικῇ δὲ, ὅταν τὸ παραβαλλόμενόν τι, καὶ ὅμοιον. οἷον καθ᾽ Ομηρον, καὶ κατὰ νοῦν προχωρεῖ. ἢ τὸ περί τι, καὶ ἔν τινι. καθ᾽ ὁδὸν ταῦτα ἐποίουν. καὶ ἔμψυχον κατὰ χώραν. ἢ χρόνον. ὁ καθ᾽ ἡμᾶς γεγονὼς ἀνὴρ ἔνδοξος.

Διά.

Η δὲ διά, γενικῇ μὲν ἐνέργειάν τινα, ἢ τὸ μέσον δηλοῦσα. διά σοῦ ταῦτα ἂν ἄμεινον γίγνοιτο. καὶ ἐπορευόμην δι᾽ ἀγορᾶς. Αἰτιατικῇ δὲ αἰτίαν. διὰ σὲ ταῦτα γράφω. Ομηρος δὲ καὶ τὸ μέσον αἰτιατικῇ ἐνίοτε φράζει. διάτ᾽ ἔντεα καὶ μέλαν αἷμα.

Μετά.

Η δὲ μετὰ γενικῇ μὲν τὸ ὁμοῦ σημαίνουσα. ἡδὺς μετὰ φίλων ὁ βίος. τὸ δὲ μετὰ τριτάτοισιν ἄνασσε, ποιητικόν. Αἰτιατικῇ δὲ τὸ ὕστερον. μετὰ τὴν ἑορτήν, καὶ Πλάτων μετὰ Σωκράτην.

Παρὰ.

Παρὰ itidē cū gtō, qñ à persona insinuat motū. ut à deo bona. Siquidē ἀπὸ & ἐξ sunt existenti à loco motui maxime peculiares, παρὰ uero, & πρός motui à persona. Cum datiuo autē, cum statū, aut propè. apud me moraf. Sed cum actō qñ motū ad aliqd. ad te uenio. Aut pter quid. propter iniuriā suppliciū. Aut pter cōsyderationē, & promissum. ut pter opinionē accidit. Αντὶ.

Αντὶ semper cū gtō. pro multis, pro uno. Επί.

Cęterū ἐπὶ & genitiuo iungif, & dtō, & actō. Genitiuo quidē tēpus signi. Imperante Athenis Pythodoro. Vel circa aliquid, aut in aliquo. in multis disceret quis quæ dicunf. Itē cū super. quadrupedes super terrā. Cum dtō, cū causam reddit cuius gratia fiat. ppter bonū oīa faciebat. Aut potestatē, arbitriūq; notans. in arbitrio regis res subditorū. Aut ubi post, ac secundò. posthęc mul:a alia narrabat. Itē cū super. super fundamēto murus stetit ualido. Insuper cū actō, motū aliquē innuens. in Atticā ibat. Cęterū cū gtō hoc idem interdū signat. in domū, & in regionem. Recte quidē & Attice, uerū non admodū usitate.

Περὶ.

Περὶ aūt cum gtō, ubi causam exprimit. ut de ppositione scribo. Illud uero de aliquo metuisse, priuati iuris est. Cum actō circum notat. aut quādo cōprehensiuū, & cōgregatiuū est. ut circū urbem exercitus. Verū illud, fluet
Iliad. α. in hasta, & circa turrim, poëtica sunt. Αμφὶ.

Αμφὶ uero ut eiusdē notæ est, sic eiusdē constructionis cum περὶ. usitatior tñ hęc ppositio περὶ. Απὸ.

A, siue ab, semper cū gtō. à iusto, ab alio. Υπὸ.

Υπὸ aūt cum gtō, causam significās efficientē. neq; ob paupertatē benefacio. Pręterea cū subtus significat. sub ueste occultantē manū. Quod sanè & cū dtō, & actō constructa, significat. sub arborē, & sub arbore. Υπὲρ.

Super cū gtō auxilij quidē est. ut pro Ctesiphonte oratio. Et causæ expressiua similiter ut de. de qbus dixi, rursus dicā. Item qñ supra significat. supra fumū ponit clauum. Cum actō uero, quando plus & ultra & oīno excessum, con=

Παρά.

Ἡ δὲ παρά, γενικῇ μὲν τὴν ἀπὸ προσώπου σημαίνουσα κίνησιν. οἷον παρὰ θεοῦ τ᾽ ἀγαθά. ἡ μὲν γὰρ ἀπὸ καὶ ἐκ τῇ ἀπὸ τόπου μάλιστα κινήσει οἰκεῖαι. ἡ δὲ παρὰ καὶ πρός, τῇ ἀπὸ προσώπου. δοτικῇ δὲ στάσιν καὶ τὸ ἐγγύς. παρ᾽ ἐμοὶ διατρίβει. Αἰτιατικῇ δέ, κίνησιν ἐπί τι. παρά σε ἔρχομαι. ἢ τὸ διά τι. παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία. ἢ τὸ ἔξω σκοποῦ καὶ ἐπαγγελίας. οἷον παρὰ γνώμην συμβαίνει.

Ἀντί.

Ἡ ἀντὶ ἀεὶ γενικῇ. ἀντὶ πολλῶν, ἀνθ᾽ ἑνός.

Ἐπί.

Ἡ δ᾽ ἐπὶ γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ. γενικῇ μὲν χρόνον δηλοῦσα. ἐπὶ ἄρχοντος Ἀθήνησι Πυθοδώρου. ἢ τὸ περί τι, καὶ ἔν τινι, ἐπὶ πολλῶν μάθοι τις ἂν τὰ λεγόμενα. ἢ τὸ ἐπάνω. τὰ τετράποδα ἐπὶ γῆς. δοτικῇ δὲ αἰτιολογοῦσα τὸ οὗ ἕνεκα. οἷον ἐπὶ ἀγαθῷ πάντα ἐποίει. ἢ δύναμιν καὶ ἀντεξούσιόν τι δηλοῦσα. ἐπὶ τῷ βασιλεῖ τὰ τῶν ὑπηκόων. ἢ τὸ ὕστερόν τε, καὶ δευτερόσχετον. ἐπὶ τούτοις πολλὰ ἕτερα διεξῄει, ἢ τὸ ἐπάνω. ἐπὶ κρηπῖδι ὁ τοῖχος ἕστηκεν ἰσχυρᾷ. αἰτιατικῇ δὲ κίνησίν τινα λέγουσα. ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετο. καὶ γενικῇ δὲ ταυτὸ τοῦτο ἔσθ᾽ ὅτε δηλοῖ. ἐπὶ οἴκου, καὶ ἐπὶ τῆς χώρας. ὀρθῶς μέν, καὶ Ἀττικῶς, οὐ κατὰ πολλήν γέ τινα χρῆσιν.

Περί.

Ἡ δὲ περί, γενικῇ μὲν αἰτιολογοῦσα. περὶ προθέσεως γράφω. τὸ δὲ περὶ τῷ δεδοικέναι, μοναδικόν. Αἰτιατικῇ δὲ τὸ κύκλῳ σημαίνουσα, καὶ περιποιητικόν, ἢ συστατικόν. οἷον περὶ τὴν πόλιν τὸ στράτευμα. τὸ δ᾽ ἐρωήσει περὶ δουρί, καὶ περὶ πύργῳ, ποιητικά.

Ἀμφί.

Ἡ δὲ ἀμφί, ὁμοιόσημός τε ἐστὶ καὶ ὁμοιοσύντακτος τῇ περί. συνηθεστέρα μέντοιγε ἡ περί.

Ἀπό.

Ἡ δὲ ἀπό, ἀεὶ γενικῇ. ἀπὸ δικαίου, ἀφ᾽ ἑτέρου.

Ὑπό.

Ἡ δὲ ὑπό, γενικῇ αἰτιολογοῦσα τὸ ποιητικόν. οὐδὲ ὑπὸ πενίας ἐνεργετῶ. καὶ ἔτι τὸ ὑποκάτω σημαίνουσα. ὑφ᾽ εἵματος κρύπτοντα χεῖρα. ὃ δὴ καὶ δοτικῇ, καὶ αἰτιατικῇ συνταττομένη δηλοῖ. ὑπὸ δένδρον, καὶ ὑπὸ δένδρῳ.

Ὑπέρ.

Ἡ δὲ ὑπέρ, γενικῇ μὲν ἐπὶ βοηθείας. οἷον ὑπὲρ Κτησιφῶντος ὁ λόγος. καὶ αἰτιολογίας ὁμοίως τῇ περί. ὑπὲρ ὧν εἶπον, πάλιν ἐρῶ. καὶ ὅταν τὸ ἐπάνω δηλοῖ. ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον. Αἰτιατικῇ δὲ τὸ πλέον τε, καὶ ἐπέκεινα, καὶ ὅλως ὑπερκεί-

ſum, cõſtruiť. ut ſupra hoĩem eſt, qd ſit deus cognoſcere.

Præpoſitionũ cõpoſitarũ cõſtruct.

Compoſitæ aũt cum uerbis prępoſitiones propriã re= tinentes ſignificationẽ, exigunt ſuũ caſum (ut ſic dicam) omnes. accuſo te, deficio abs te, ſupero te, moneo te. Id quod in poſſeſſiuis, & acquiſitiuis non fit. ſatior, delitior, & fruor te, & impono tibi. Hęc tamẽ p̃poſitio κατὰ & in cõ poſitione etiã intendit, manente eodẽ caſu. deuorat oĩa, dixit mihi. Hęc tamẽ & ſi ut quid compoſitũ, ita proferať, quo minus à p̃poſitiua ꝓprietate deficiat, nihil impedie= rit. cõtradicere igitur alteri dicimus, & deuorare, & intue ri. Vocetur aũt illud quidẽ p̃poſitiuũ, hoc uero uerbale.

ANASTROPHE.

Odyſſ. δ. Iliad. ν. Ex Theognide. ι quib. præpoſitionibus adijcitur. Homericũ. Odyſſ. ο. Odyſſ. α. Iliad. τ. Ex catalogo Homeri. Homericũ. Iliad. ε.

Inuertuntur aũt monoſyllabæ quidẽ in fine carminũ, ut in Homericis illis. nõ tamen malus cognoſcitur, neq; ex malis. Et uenit Apollo argenteũ arcũ habens cum Di ana. Diſyllabæ autẽ & in oratione ſoluta, & in carmine. p̃ter per, & per, ne coincidant. altera quidẽ cum hoc actõ Iouẽ, altera uero cũ hoc uctõ rex. O rex Latonæ fili. To num ſiquidẽ habeat penul. recta intẽſione, neceſſe eſt. Cę terũ tritẽporeæ non. ut ἀντὶ, & ἀμφὶ, ut neq; in qbus ι re= dundat. ut κατὰ, παρὰ, ſuper, tanq̃ factæ tritẽporeæ. Por rò ἐν qñ aſſumit ι, & fit ἐνὶ, etiã ſi facta ſit diſyllaba, aut bitẽporea, inuertiť. ut ędib. in noſtris. & quo in loco puel= la cubat. Interdũ etiã & diſyllabæ q̃uis bitẽporeæ, nõ in= uertunť. ut Ithacæ regnãt. & offendit aũt iuxta Patroclũ iacentẽ. Qđ ſi inter duo noĩa ſit p̃poſitio, alterũ ꝓpriũ, al= terũ appel. uel adiect. hanc inuerti neceſſe eſt, ut toti p̃po natur orationi. ut fluuio à Selleente, & Xãtho in uortico= ſo. Ad hunc aũt modũ fit, ſi inter ꝓpria duo, uel appella= tiua cadat, cõiunctione p̃poſitionẽ ſequẽte. ut nauib⁹ ab atq; tẽtorijs. Agamẽnone de atq; Achille. Et ſi media in= ciderit, nullaq; alia oratiõis pars interueniat (modo ſup ponať dictioni, quã debebat p̃cẽdere) inuertiť. ut quo in loco multũ laboraui, Ithaca in domũ habitans, à dijs cõ= ſilia ſciens. Si uero inter prępoſitionẽ & uerbũ, uel nomẽ ad quod pertinet p̃poſitio, pars orõis alia intercedat, nõ reflectitur. hunc aũt Tydides inuaſit. Si tamẽ ſit in fine,

& (ut ſim

μένον ἀποφέρεται. οἷον ὑπὲρ ἄνθρωπον, τί ἐστιν ὁ θεός, εἰδέναι.

Συντεθεῖσαι δὲ τοῖς ῥήμασιν αἱ προθέσεις, τὴν ἰδίαν ἔτι φυλάττουσαι σημασίαν, ἀπαιτοῦσι τὴν αὐτῶν πτῶσιν, ὡς ἁπλῶς εἰπεῖν ἅπασαι. κατηγορῶ σου, ἀφίστημί σου, ὑπερέχω σου, παραινῶ σοι. ὅτι μὴ ἐπὶ τῶν κτητικῶν καὶ περιποιητικῶν. ἐμφοροῦμαι, ἐντρυφῶ, καὶ παραπολαύω σου. καὶ περιτίθημί σοι. ἡ γε μὴν κατὰ συντεθεῖσα καὶ ἐπιτείνει ὁμοιοτρόπως. κατεσθίει πάντα. κατεῖπέ μοι. καὶ ταῦτα μέν τοι, καὶ εἴ τι ὡς σύνθετον οὕτω προφέροιτο ἕτερον, μὴ δὲ τοῦ προθετικοῦ ἰδιώματος ἀπολείπεσθαι, οὐδὲν ἂν κωλύοι. κατειπεῖν οὖν ἑτέρου, καὶ κατεσθίειν, καὶ καθορᾶν. καλείσθω δὲ τὸ μὲν προθετικόν, τὸ δὲ ῥηματικόν.

ΑΝΑΣΤΡΟΦΗ.

Ἀναστρέφονται δὲ αἱ μὲν μονοσύλλαβοι ἐπὶ τέλει που τῶν ἐπῶν, ὡς ἐπὶ τῶν ὁμηρικῶν ἐκείνων. οὐ μέν τοι κακὸς εἴδεται, οὐδὲ κακῶν ἐξ. καὶ ἦλθεν ἀργυρότοξος ἀρτέμιδι ξύν. Τῶν δὲ δισυλλάβων ἔν τε τοῖς πεζοῖς καὶ ἐν τοῖς ἐμμέτροις, πλὴν τῆς διά, καὶ ἀνά, ἵνα μὴ συνεμπέσῃ. ἡ μὲν τῇ Δία αἰτιατικῇ, ἡ δὲ τῇ ἄνα κλητικῇ. ὦ ἄνα Λητοῦς υἱέ. ὀρθοτονεῖσθαι γὰρ ἐπὶ τῆς παραληγούσης ὀρθείᾳ τάσει ἀνάγκη. αἱ δὲ τρίχρονοι, οὔ. οἷον ἥ τε ἀντί, καὶ ἀμφί, ὅθεν οὐδὲ αἱ τῷ ι πλεονάζουσαι. οἷον καταί, παραί, ὑπείρ. ἅτε δὴ γενόμεναι τρίχρονοι. ἡ δὲ ἐν προσλαβοῦσα τὸ ι, καὶ γινομένη ἐνί, καὶ δισυλλαβήσασα, καὶ διχρονήσασα ἀναστρέφεται. οἷον ἡμετέρῳ ἔνι οἴκῳ. καὶ ᾧ ἔνι κούρη κοιμᾶται. Ἐνίοτε δὲ καὶ αἱ δισύλλαβοι διχρονοῦσαι, ὅμως οὐκ ἀναστρέφονται. οἷον Ἰθάκην κατακοιρανέουσι. καὶ εὗρε δὲ Πατρόκλῳ περικείμενον. Εἰ δὲ μεταξὺ δυοῖν ὀνομάτων ἡ πρόθεσις, τοῦ μὲν κυρίου, τοῦ δὲ προσηγορικοῦ, ἢ ἐπιθέτου, ἀναστρέφειν δεῖ, ἵνα τοῦ ὅλου προηγήσηται λόγου. οἷον ποταμοῦ ἄπο Σελλήεντος, καὶ Ξάνθῳ ἔπι δινήεντι. Ὡσαύτως δὲ κἂν μεταξὺ κυρίων δυοῖν, ἢ προσηγορικῶν κέηται, συνδέσμου μετὰ τὴν πρόθεσιν ἐπιφερομένου. οἷον νηῶν ἄπο, καὶ κλισιάων. Ἀγαμέμνονος πέρι, καὶ Ἀχιλλέως. κἂν μεταξὺ μὲν ἐμπίπτῃ, καὶ μηδὲν ἕτερον μέρος λόγου μεσοσυλλαβῇ, ὑποτάττηται δὲ οὗπερ ἐχρῆν προηγεῖσθαι, ἀναστρέφεται ἔτι. οἷον ᾧ ἔπι πολλ' ἐμόγησα, Ἰθάκῃ ἔνι οἰκία ναίων, θεῶν ἄπο μήδεα εἰδώς. ἐὰν δὲ μεταξὺ προθέσεως καὶ τοῦ ῥήματος, ἢ τοῦ ὀνόματος πρὸς ὃ ἡ πρόθεσις, μέρος λόγου ἕτερον παρεμπίπτῃ, οὐκ ἀναστρέφεται. τῷ δ' ἐπὶ Τυδείδης ὦρτο. Εἰ μέν τοι εἴη ἐπὶ τέλει τοῦ ἔπους,

καὶ ἁπλῶς

& (ut simpliciter dicã) in puncto sẽtẽtiæ, inuertĩ, etiã si quicq̃ interueniat. omneis aũt excreauit multum cõtra. Quę uero patiunĩ elisionẽ uocalis, nõ reflectũtur nisi punctũ subsequatur aliquod, aut significatũ corrũpatur non cõuersæ, ut in hoc. statuebat eñ à Vulcano afferre arma. Poëtæ igitur postp̃posi. quãdoq; punctũ faciũt, oratores uero nõ, præterq̃ in ad. Hanc eñ p̃positionẽ solã añ punctum locant. ut hoc, & ad paruum quippiã. Nõnulli uero & per defectũ p̃positionis dici has orationes aiunt. bouẽ tritico emo, nẽpe ut desit per. Sæpe itidẽ in oratione deficere κατὰ. ut suaue plantis spirat, & decerpo flores, bibo aquã, & suspendo te pede. ut desit à.

Iliad. τ.

ADVERBIVM.

Aduerbij cõstructio.



Aeterum aduerbiũ cum uerbis habet cõstructionẽ. Semper eñ uerbũ aut pręcedit, aut sequitur, his (quæ uocantur actiones) addictũ. Vnde & appellationẽ accepit & definitionẽ. Est enim pars orationis sine casu, uel de uerbo dicta, uel addicta uerbo, tanq̃ adiectiuum uerbi. Vt igitur nomina adiectiua tam de proprijs prędicantur, q̃ de appellatiuis, ita sanè & aduerbia. Nam quãuis inter uerbũ, & aduerbium cõtingat incidere multa, nihilominus tamẽ ipsum àd uerbũ referri dicitur. Quinetiã plura sæpe cõnectẽtes aduerbia, uni uerbo reddimus nõ inepte. ut bene, & pie, & necessario fecisti. Sed id quidẽ cõmune est. Habent igitur aduerbia constructionem cum uerbo, excepto aduerbio uocandi, & his quæ sunt exclamãdi, & admirandi, ac positiua. Illud enim cum uocatiuo. ut ò amice Pole. Hęc uero cum genitiuo. heu mala, ò magnitudinẽ. Rursum positiua cum datiuo, uel accusatiuo. scribendũ nobis, scribere oportet nos. Licet etiã uti exclamãdiq;, & positiuis citra aliquod subsequens casuãle. Quædã igitur cum casu construunĩ. heu magnitudinẽ. quędã uerbo. bene habet. quædã cum utroq;. procùl nobis habitat. Item alia utroq; modo, & uerbaliter. ut procùl habitat. Alia uero uerbaliter & casualiter, nõ ex necessitate, & utroq; modo.

Platonis in Gorg.

Tẽporalia.

καὶ ἁπλῶς εἰπεῖν, ἐν στιγμῇ νοήματος, ἀναστρέφεται, καὶ μεσοσυλλαβοῦντός του. πάντων δ' ἔλυσε πολὺ κατὰ. Καὶ αἱ παθοῦσαι δὲ ἔκθλιψιν τοῦ φωνήεντος οὐκ ἀναστρέφονται, εἰ μὴ στιγμὴ ἐπιφέροιτό τις, ἢ τὸ σημαινόμενον διαφθείροιτο μὴ ἀναστρεφομένης, ὡς ἐπὶ τοῦ. στεῦτο γὰρ ἡφαίστοιο πάρ' οἰσέμεν ὅπλα. Ποιηταὶ μὲν οὖν κατὰ τὰς προθέσεις ἐνίοτε στίζουσι, λογογράφοι δ' οὔ, ὅτι μὴ ἐπὶ τῆς πρός. ταύτην γὰρ μόνον καὶ πρὸ στιγμῆς τάττουσιν. ὡς τὸ, καὶ μικρόν τι πρός. Ενιοι δὲ καὶ κατ' ἔλλειψιν προθέσεων λέγεσθαι τὰ τοιαῦτα φασί. βοῦν σίτου ὠνοῦμαι, ἐνδεῖν γὰρ τὴν διά. πολὺς τὸν λόγον, ἐνδεῖν τὴν κατά. ἥδυ τῶν φυτῶν ἀναπνεῖ, καὶ δρέπομαι τῶν ἀνθέων, καὶ πίνω τοῦ ὕδατος, καὶ κρεμῶ σε τοῦ ποδός. ἐνδεῖν τὴν ἀπό.

ΠΕΡΙ ΕΠΙΡΡΗΜΑΤΩΣ.



ΤΟ δ' ἐπίρρημα, πρὸς τὰ ῥήματα ἔχει τὴν σύνταξιν. Αἰεὶ γὰρ ῥήματι προηγεῖται, ἢ ἐφέπεται ταῖς λεγομέναις ἐνεργείαις ἐπιλεγόμενον. ὅθεν καὶ τὴν προσηγορίαν ἀπηνέγκατο καὶ τὸν λόγον. ἔστι καὶ γὰρ μέρος λόγου ἄπτωτον κατὰ ῥήματος λεγόμενον, ἢ ἐπιλεγόμενον ῥήματι, καὶ οἷον ἐπίθετον ῥήματος. Καθάπερ οὖν τὰ τῶν ὀνομάτων ἐπίθετα τῶν κυρίων κατηγορεῖται καὶ προσηγορικῶν, οὕτω δὴ καὶ τὰ ἐπιρρήματα. Κἂν γάρ τοι μεταξὺ τοῦ ῥήματος, καὶ ἐπιρρήματος τύχῃ παραπεσόντα πλείονα ἄττα, ὅμως μέντοι αὐτὸ τὸ ἐπίρρημα πρὸς τὸ ῥῆμα ἀναφερόμενον λέγεται. Καὶ μὲν δὴ πλείω πολλάκις συμπλέκοντες ἐπιρρήματα ἑνί τῷ ῥήματι ἀποδίδομεν ἱκανῶς. οἷον καλῶς, καὶ εὐσεβῶς, καὶ δεόντως πεποίηκας. κοινὸν δὲ τὸ τοιοῦτο. Εχει μὲν οὖν τὰ ἐπιρρήματα τὴν σύνταξιν πρὸς τὸ ῥῆμα, πλὴν τοῦ κλητικοῦ ἐπιφθέγματος καὶ τῶν σχετλιαστικῶν, καὶ θαυμαστικῶν, καὶ τῶν θετικῶν. Τὸ μὲν γάρ τοι πρὸς κλητικήν. ὦ φίλε Πῶλε. Τὰ δὲ πρὸς γενικήν. φεῦ τῶν κακῶν, ὢ τοῦ μεγέθους. Τὰ δὲ πρὸς δοτικήν, ἢ αἰτιατικήν. γραπτέον ἡμῖν, γραπτέον ἡμᾶς. ἔστι δὲ χρῆσθαι σχετλιαστικοῖς τε, καὶ θετικοῖς, καὶ ἄνευ τινὸς ἐπιφορᾶς πτωτικῆς. Τὰ μὲν οὖν πτωτικῶς συντάσσεται. φεῦ τοῦ μεγέθους. Τὰ δὲ ῥηματικῶς. εὖ ἔχει. Τὰ δὲ συναμφοτέρως. πόρρω ἡμῶν οἰκεῖ. Καὶ τὰ μὲν συναμφοτέρως, καὶ ῥηματικῶς. οἷον πόρρω οἰκεῖ. Τὰ δὲ ῥηματικῶς, ἢ πτωτικῶς, οὐκ ἐξ ἀνάγκης, καὶ δὴ συναμφοτέρως.

Temporalia. Nunc.

Exemplum primum ex Iliad. β. Secundum ex δ. Iliad. Tertium è tertio Iliad. Exemplum ex orat. Demosthenis. περὶ πρεσβίας.

Ex tẽporalibus aũt, nunc, omnibus tẽporis partib. accõmodatur, p̃terq̃ pluq̃perfecto. nunc tẽtat, nunc rursum hasta experiar, nunc quidẽ Menelaus uicit, Minerua auspice. Cum explicat quidẽ præsens tẽpus, cũ præsenti cõstruit solo, initiũq; tenet orationis. Cum uero cõsequentiã aliquã seruat p̃cedentis, neq; in initio est orõis, & semper cum aũt cõnectit. ut ego qdẽ putabã hęc dicturũ, nũc aũt nihil horũ dixit. Opponunt aũt nũc (cum p̃ns significat) statim; & nuper. nunc facio, nuper feci, statim faciã.

Heri.

Eodẽ modo se habet & heri, & cras, ad hodie. Dicatur ergo & cras uenio, si cupis id, quod futurum est fieri magis credibile.

Quando. Tunc.

Cõe aũt & hoc q̃n, & tunc, nisi qđ p̃teritũ nõ admittũt.

Nuper. Pridem.

Aristopha. Pluto.

Nuper aũt & pridẽ peculiaria præterito. olim aliquãdo erant strennui Milesij. nuper uenit.

Iam.

Cæterũ iam cõuenit tam futuro, q̃ præterito. iam iui, iam ibo. Diciturq; de his, quæ non multum absunt, uelut & nuper.

Prius.

Item prius cum p̃terito indicatiui. priusq̃ dixit. Quinetiam cum infinitiuo. priusquã diceret. & intercedente q̃. priusq̃ diceret. Quẽadmodũ interueniẽte ἂν in re futura. priusq̃ fiat, priusquàm fiat.

Donec.

Sic aũt & donec, & quæ idem significant. donec porrigam, & donec porrigerem.

Quando.

Verũ q̃n indifferẽter cũ tẽporib' indicatiui, nisi qcq̃ potẽtiale significet. Optat. nanq; est potẽtialis. q̃n uoluerit.

Non amplius. Semper. Rursus.

Item nõ amplius, & nunq̃, & semper. Verũ nunq̃ solũ cum p̃terito. Quemadmodũ cõtra, semper & rursum cũ futuro. ut semper eritmotus, rursum docebo.

Nondum.

Ad hæc nondũ & cũ p̃terito, & cũ p̃nti. nondũ fit, nondum factũ est. Licet autẽ (ut in g̃ne dicam) & gtõ reddere aduerbia tẽporis quasi possessiue. ut quãdo tẽporis, nũq̃

temporum

Χρονικά. Νῦν.

Τῶν δὲ χρονικῶν τὸ μὲν νῦν, πᾶσι τοῖς τοῦ χρόνου μορίοις συντάσσεται, πλὴν τοῦ ὑπερσυντελικοῦ. νῦν περᾶται, νῦν αὐτ' ἔγχει περήσομαι, νῦν μὲν δὴ Μενέλαος ἐνίκησεν σὺν ἀθήνῃ. καὶ δηλοῦν μὲν τὸ τοῦ χρόνου ἐνεστικὸς, ἐνεστῶτι συντάσσεται μόνῳ, καὶ ἀρκτικὸν γίνεται λόγου. ἀκολουθίαν δέ τινα σῶζον προηγουμένου, οὔτ' ἀρκτικόν ἐστι λόγου καὶ ἀεὶ τῷ δὲ συνδέσμῳ συντάσσεται. οἷον ἐγὼ μὲν ἔφην ταῦτ' ἐκεῖνον ἐρεῖν. νῦν δὲ οὐδὲν τούτων εἴρηκεν. ἀντιπαράκειται δὲ τῷ τοῦ ἐνεστῶτος νῦν, τὸ αὐτίκα καὶ ἄρτι. νῦν ποιῶ, ἄρτι πεποίηκα, αὐτίκα ποιήσω.

Χθές.

Ὁμοίως δ' ἔχει καὶ τὸ χθὲς, καὶ αὔριον, πρὸς τὸ σήμερον. εἰρήσθω δέ τοι, καὶ αὔριον ἔρχομαι ἐπ' ἀγρὸς θυμοῦ, τὸ μέλλον γίνεσθαι ἐπιπλέον πιστοῦσθαι. Οτε. Τότε.

Κοινὸν δὲ, καὶ τὸ ὅτε, καὶ τότε, πλὴν τοῦ παρακειμένου.

Πρώην. Πάλαι.

Τὸ δὲ πρώην, καὶ πάλαι, ἴδια τοῦ παρῳχημένου. πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. πρώην ἐλήλυθεν. Ηδη.

Τὸ δὲ ἤδη, κοινὸν μέλλοντος, καὶ παρήκοντος. ἤδη βεβάδικα, ἤδη βαδίσω. λέγεταί τε ἐπὶ τῶν μὴ πολὺ ἀφεστηκότων. ὡς καὶ τὸ πρώην. Πρίν.

Καὶ τὸ πρὶν ἐν παρεληλυθότι πρὸς ὁριστικόν. πρὶν εἶπεν. Οὐ μὴν ἀλλὰ καὶ σὺν ἀπαρεμφάτῳ. πρὶν εἰπεῖν. Καὶ διὰ μέσου τοῦ ἤ. πρὶν ἢ εἰπεῖν. ὥσπερ διὰ τοῦ ἂν ἐπὶ μέλλοντος πράγματος. πρὶν ἂν γένηται, πρὶν γένηται. Εως.

Ὁμοίως δὲ καὶ τὸ ἕως, καὶ τὰ ἰσοδυναμοῦντα. ἕως παρατείνω, καὶ ἕως παρατεῖναι. Οτε.

Τὸ δὲ ὅτε διαφόρως τοῖς χρόνοις πρὸς ὁριστικὸν, εἰ μὴ δυνητικόν τι ἐπινοοῖτο. εὐκτικοῦ γὰρ τὸ δυνητικόν. ὅτε βούλοιτο.

Οὐκέτι. Εἰσαεί. Αὖθις.

Καὶ τὸ οὐκέτι, καὶ τὸ οὐδέποτε, καὶ τὸ ἀεί. τὸ δὲ οὐδέποτε μόνον ἐπὶ παρῳχημένου. Ὥσπερ τοὐναντίον τὸ εἰσαεὶ, καὶ αὖθις ἐπὶ μέλλοντος. εἰσαεὶ ἔσται κίνησις, αὖθις διδάξω.

Οὔπω.

Τὸ δὲ οὔπω, παρῳχημένου τε, καὶ ἐνεστῶτος. οὔπω γίνεται. οὔπω γέγονεν. Ἐστι δ' ὡς ἁπλῶς εἰπεῖν, καὶ πρὸς γενικὴν ἀποδιδόναι τὰ χρονικὰ κτητικῶς πως. οἷον ποτὲ τοῦ χρόνου. οὐδέποτε τῶν

temporũ. Verũ absq; gtõ frequẽter in oratione. Sũt etiã ex tẽporalibus alia qdẽ relatiua, alia uero absoluta. Quã obrẽ & sese pcedũt uicissim. ut tũ, cũ, tũc, qñ, tãdiu, donec.

Intensiua.

Porrò aduerbia intendendi cũ adiectiuis noĩm cõstruuntur oĩbus, superlatiuorũ uicẽ supplẽtia. ualde sapiens, ualde honorãdus. Et relatiue. ille admodũ sapiẽs. Cum in medio ponunt, de mediocritatis prędicant aduerbijs. ut scribit ualde elegãter, currit admodũ uelociter. Sed & seorsim addũtur. ualde laborat, ualde desyderat. Et mediocritati, & ęqlis potẽtiæ alijs gñaliter natura adest uerbale. uiuit caste, merito felix est. specialiter uero, ut se habet cuiusq; deriuatio, ita etiã cõstruit casuale. Quãdoqdẽ origini respõdere debet. digne ratiõe, qa dignus cuius ratio habeat. & similiter alijs, qa similis alijs. & contẽptibiliter abiectiorũ, qa contẽno abiectiora. Cuiusmodi sanè &
ἔχω cũ genitiuo. illud. optime oĩm. Cõuenit aũt his & cõstruct9 cũ habeo gtũs. sic animo affectus sum, male affectus sum corpore.

Localia.

Localia aũt cum genitiuo. extra religionẽ, hucusq; sermonis, ubi terræ, alibi domus. & sine gtõ. hic est. Clarius tamen ac usitatius in plerisq; loquimur adiecta ppositione. domi in Attica, domũ ad Ptolemarchi. Quæ omnia
Apud Platonẽ πολιτικῶν α. conueniens sibi uerbũ, & quietis, & motus habebunt adiunctum. ut domi sum, uado domum.

Comparatiua.

Comparatiua aũt, & superlatiua eodẽ modo cũ gtõ. magis alijs philosophatur, & maxime omniũ. Præterea cõparatiua cum ntõ intercedẽte cõiunctione q̃. magis q̃
Occultãdi. alij. Rursum occultatiua. ut occulte, uel clam alijs facit.
Separandi. Itẽ separatiua. absq; alijs. Et quæ sunt quãtitatis. semel,
Quãtitatis. aut bis in die, ter in mense, quater & sæpius in anno. Nec
Ordinalia. non ordinalia. duo mox post unũ, & secunda nouilunij.
Collectiua. Collectiua aũt cũ dtõ. simul & unà cum alijs, & seorsum.
Iurandi. Iurãdi uero cum actõ solũ. per Iouẽ non dixi, per Iouem
Interrogãdi non dixi. Interrogandi autẽ capta indefinite, lociq; aut figuræ significatiua, inclinantur, nisi fuerint trisyllaba.

Nihil

χρόνων. τὸ γενικὸν χωρὶς γενικῆς πολὺ ἐν τῷ λόγῳ. Ἔστι δὲ καὶ τῶν χρονικῶν, τὰ μὲν ἀναφορικὰ, τὰ δὲ ἀπολελυμένα. ὥστε καὶ προηγεῖται ἀλλήλων. τό τε, ὅτε, τηνικαῦτα, ἡνίκα, τέως, ἕως.

Ἐπιτατικά.

Τὰ δὲ ἐπιτατικὰ, τοῖς τε ἐπιθέτοις ὀνομάτων συντάσσεται πᾶσιν, ὑπερθετικῶν χρείαν ἀναπληροῦντα. οἷον λίαν σοφὸς, πάνυ τίμιος. καὶ ἀναφορικῶς. ὁ λίαν σοφός. Μεσοσυλλαβοῦντα, τῶν τε τῆς μεσότητος κατηγορεῖται ἐπιῤῥημάτων. οἷον γράφει πάνυ καλῶς, καὶ τρέχει λίαν ταχέως. καὶ χωρὶς δὲ ἐπιλέγεται. λίαν πονεῖ, σφόδρα ἐπιθυμεῖ. Αὐτῇ δὲ τῇ μεσότητι καὶ τῶν τούτοις ἰσοδυνάμων καθόλου μὲν τὸ ῥηματικόν. ζῇ σωφρόνως. ἀξίως γε ἐντυχεῖ. κατὰ μέρος δέ τοι ὡς ἕκαστον ἔχει παραγωγῆς, οὕτω δὴ καὶ συντάξεταί γε τὸ πτωτικόν. τῇ γὰρ ἀρχῇ συνωδὸν εἶναι χρεών. ἀξίως οὖν λόγῳ, ὅτι ἄξιος λόγῳ. καὶ ὁμοίως τοῖς ἄλλοις, ὅτι ὅμοιος τοῖς ἄλλοις. καὶ καταφρονητικῶς τῶν εὐτελεστέρων, ὅτι καταφρονεῖ τῶν εὐτελεστέρων. οἷον δὴ, καὶ τὸ. ἄριστα πάντων. Κοινὸν δὲ τῶν τοιούτων, καὶ ἡ προσκειμένη τῷ ἔχω γενική. οὕτως ἔχω γνώμης, πονήρως ἔχω τοῦ σώματος.

Τοπικά.

Τὰ δὲ τοπικὰ γενικῇ. ἔξω τῆς χώρας, ἐνταῦθα τοῦ λόγου, ποῦ γῆς, ἄλλοθι τῆς οἰκίας. καὶ χωρίς. ἐνταῦθά εἰμι. σαφέστερον μέν τοι καὶ εὐχρηστότερον ἐπ' ἐνίων τὸ φράζειν πρόθεσιν πτωτικῶς. οἴκοι ἐν ἀττικῇ. οἴκαδε εἰς τοῦ Πολεμάρχου. πάντα δὲ τὸ προσῆκον σώζειν ἠρεμίας τε, καὶ κινήσεως ἔξει προσκείμενον. οἷον οἴκοι εἰμὶ, πορεύομαι οἴκαδε.

Παραθετικά.

Καὶ τὰ συγκριτικὰ δὲ καὶ ὑπερθετικὰ ὁμοίως εἰς γενικήν. μᾶλλον τῶν ἄλλων φιλοσοφεῖ, καὶ μάλιστα πάντων. Τὰ δὲ συγκριτικὰ, καὶ πρὸς εὐθεῖαν μεσοσυλλαβοῦντος τοῦ ἤ. μᾶλλον ἢ ἄλλοι. Ἔτι τὰ ἐπικρυπτικά. κρύφα, ἢ λάθρα τῶν ἄλλων ποιεῖ. Καὶ τὰ διαιρετικά. χωρὶς τῶν ἄλλων. Καὶ τὰ ποσότητος. ἅπαξ ἢ δὶς τῆς ἡμέρας, τρὶς τοῦ μηνὸς, τετράκις, καὶ πολλάκις τοῦ ἐνιαυτοῦ. Καὶ τὰ τακτικά. τὰ δύο, ἐφεξῆς τοῦ ἑνὸς, καὶ ἡ δευτέρα τῆς νουμηνίας. Τὰ δὲ ἀθροιστικὰ, δοτικῇ. ὁμοῦ καὶ ἅμα τοῖς ἄλλοις, καὶ χωρίς. Τὰ δὲ ὀμοτικὰ, αἰτιατικῇ μόνως. νὴ Δία οὐκ εἶπον, μὰ Δί' οὐκ εἶπον. Τὰ δὲ ἐρωτηματικὰ, ἀοριστούμενα, καὶ ἢ τοπικὰ γινόμενα τρόπικα ἐγκλίνεται, ἅμα τρισυλλαβία κωλύει.

Nihil e͂m inclinaṫ, quod ſit plusq̄ diſyllabū. unde uenit? alicunde ueniens. quomodo habet? ſic habet. Licet autē & qn̄, & ubi, in interrogatiōe his ad donec, & uſq, & uſq
Cōfirmādi. ſubiungere. ut uſquequo? uſq quo? uſq quo? Cōfirmādi aūt cū indica. dicit quod ueniet, ſic ſanè iudicat. ὅτι tñ & cū optat. ſi de præterita re, hoc eſt narratiue dicaṫ. ut nunciabat quod fieret, & eſſet, & erit.

Bifariam narratiuum.

Quamobrē manifeſtū, ut bifariā narratiuū ſumaṫ, uel enim intētius, ut infinitiuū. diciṫ factū eſſe aliquid. uel remiſſius, ut & indica. & optatiuū, ut dictū eſt. Vt ſummatim dicā. ptm̄ optatiuo amicum quodā modo uideṫ eſſe.

Prohibitiua.

Quādoq phibēdi aduerbiū ad pñs nectit ſubiūctiuū.
ἵνα. timui ne ſit. Ad ptm̄ itidē optatiuū, timui ne eſſet. Et qm̄,
ἵνα δή. & poſtq̄ aduer. tēporis, nō ſolū cum indica. ſed cū optati-
Optandi. uo cōſtruunṫ. poſtq̄ fieret. At optādi aduer. cū opta. & in-
Hortandi. dic. ut dictū eſt. Cęterū adhortādi, cū ſecūdis imperatiuo-
Prohibēdi. rū, & itē cū ſibij pſis impera. age dicamus, age dic. Sicuti
Negandi. cū tertijs aduer. prohibēdi. ne dicat, ne uerberator. Qđ cō-
Cōiectandi. uenit (ut dictū eſt) & alijs modis. ne noſcas, ne noueris, ne no. pterq̄ indicatiuo. Huic e͂m aduer. negandi peculiare eſt. nō dico, profecto dico. Ne, per meā irā, p nō diciṫ. Similiter aūt & q̄ cōiectandi. fortaſſe dicā. Quę ſi cū optati. nunq̄ fiat ſine cōiunct. ἄν. forſan dixerit. Id qđ cōe eſt cū uerbo coſtructis oībus. ut bene habeat, pcul abſit, per Io-
Comparationis. uē dixerim. & ſimiliter in alijs. Quæ aūt ad cōparationē ſpectāt, cum indica. cōſtruuntur. ut dicebā, ſic ſcripſi. Et q̄
Demōſtrandi. demōſtrant uerbaliter. ecce uenit ad finē, ecce agnus. per defectū uerbi ſubſtantiui. Itē remiſſiua. ſenſim dicere, uix
Remiſſiua. poteſt. Cæterū digreſſiuū cū infinitiuo. itaq dicaṫ. Et cū
Digreſſiuū eſt. opta. itaq dicat. Præterea cū indica. itaq dicit. Eſtq intenſiuū non ſolū aduerbij, ſeđ & noīs ſimilitudinē, aut æquiparantiā notantis. ut talis eſt, ut cogitet & dicat, quæ oportet. tātus, ut omneis ſuperet, & ſic, ut oēs admirenṫ.
Concedendi Aduerb. autē concedendi eſto, orationis lōgioris finis, &
εἶεν. quoddā principiū erit ſequētiū. eſto aliqđ filius Laërtis?

Οὐδὲν γὰρ ἐγκλίνεται ὑπερδισύλλαβον ὄν. πόθεν ἔρχῃ; ἐλθὼν δὲ πόθεν. πῶς ἔχει; οὕτω πως ἔχει. ἔξεστι δὲ καὶ τὸ ποτὲ, καὶ ποῦ ἐπ' ἐρωτήσει τῷ ἕως καὶ μέχρι, καὶ ἄχρι ὑποτάσσειν. οἷον ἕως πότε; ἄχρι ποῦ; μέχρι ποῦ; Τὰ δὲ βεβαιωτικὰ, ὁριστικοῖς. λέγει ὅτι ἥξει. οὕτω δὴ κρίνει. τόγε μὴν ὅτι καὶ πρὸς εὐκτικὸν, ἐκ παρῳχημένου, τουτέστι διηγηματικῶς. οἷον ἠγγέλλετο ὅτι γένοιτο, καὶ εἴη, καὶ ἔσοιτο.

Διχῶς τὸ διηγηματικόν.

Ὅθεν δῆλον καὶ ὡς διχῶς τὸ διηγηματικόν. ἢ γὰρ ἐντονωτέρως, ὡς τὸ ἀπαρέμφατον. λέγεται γενέσθαι τι. ἢ ὑπτιωτέρως, ὡς τό, τε ὁριστικὸν καὶ εὐκτικὸν ὡς εἴρηται. ὅλως δ' εἰπεῖν τὸ παρεληλυθὸς φιλευκτικόν τι ἔοικεν ὄν.

Ἀπαγορευτικά.

Ὁπότε καὶ τὸ ἀπαγορευτικὸν ἀπὸ μὲν ἐνεστῶτος πρὸς ὑποτακτικόν. δέδοικα μὴ ᾖ. ἀπὸ δὲ παρῳχημένου πρὸς εὐκτικόν. ἐδεδοίκειν μὴ εἴη. καὶ τὸ ἐπεὶ καὶ ἐπειδὴ χρονικὸν, οὐ μόνον πρὸς ὁριστικὸν, ἀλλὰ καὶ πρὸς εὐκτικόν. ἐπειδὴ γένοιτο. Τὰ δ' εὐκτικὰ, εὐκτικῷ καὶ ὁριστικῷ, ὡς εἴρηται. Τὰ δὲ παρακελευστικὰ τοῖς δευτέροις τῶν προστακτικῶν, καὶ προσέτι τοῖς αὐθυποτάκτοις. ἄγε λέγωμεν, φέρε εἰπέ. Τοῖς τρίτοις δὲ τὸ ἀπαγορευτικὸν, μὴ λεγέτω, μὴ τυψάσθω. οἰκεῖον δ' ὡς εἴρηται, καὶ ταῖς ἄλλαις ἐγκλίσεσι. μὴ γνῷς, μὴ γνώῃς, μὴ γνῶναι. πλὴν τῇ ὁριστικῇ. ταύτης δὲ τὸ ἀποφαντικὸν ἴδιον. οὐ λέγω, ναὶ λέγω. τὸ δὲ μὴ, δι' ἐμὴν ἰότητα, ἀντὶ τοῦ οὐ. Ὁμοίως δὲ καὶ τὰ εἰκαστικά. ἴσως ἐρῶ. εἰ δ' εὐκτικῷ, οὐκ ἂν εἴη χωρὶς συνδέσμου. ἴσως φαίη ἄν. Κοινὸν δὲ τοῦτο τῶν ῥηματικῶς συνταττομένων ἁπάντων. οἷον εὖ ἂν ἔχοι, πόρρω ἂν εἴη. νὴ δί' εἴποιμ' ἄν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Καὶ τὰ παραβολικὰ δὲ ὁριστικοῖς. ὡς εἶπον, οὕτως ἔγραψα. Καὶ τὰ δεικτικὰ ῥηματικῶς. ἰδοὺ ἥκει εἰς τέλος, ἰδοὺ ὁ ἀμνός. ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ. Καὶ τὰ ἀντιτικά. ἠρέμα λέγειν, μόγις δύνανται. Τὸ δὲ ἀποστατικὸν, ἀπαρεμφάτῳ. ὥστε λέγειν. καὶ εὐκτικῷ. ὥστε λέγοι ἄν. καὶ ἔτι ὁριστικῷ. ὥστε λέγει. ἐπιτατικόν τε οὐ μόνον ἐπιῤῥήματος, ἀλλὰ καὶ ὀνόματος ὁμοιωματικοῦ, ἢ παρισωτικοῦ. οἷον τοιοῦτός ἐστιν, ὥστε καὶ νοεῖν καὶ λέγειν τὰ δέοντα. τηλικοῦτος, ὥστε ἅπαντας ὑπερβάλλειν, καὶ οὕτως, ὥστε πάντας θαυμάζειν. Τὸ δ' ἀποθετικὸν εἶεν, λόγου μακροτέρου πέρας, καί τις ἀρχὴ ἔσται τῶν ἑπομένων. εἶεν τί δῆθ' ὁ παῖς ὁ τοῦ Λαερτίου.

DE CONIVNCTIONE.

Coniunctionis finitio et constructio.



Aeterum coniunctio (q̄ dictio copulatiua est aliarū orationis partiū) ad congruā cōpositionemq́, & ordinē similia coniungit semper. Nēpe nomen nomini, & uerbū uerbo, & rectum recto, & omnino casum casui, tēpus itē similiter, & modum, reliquaq́ pariter. Constructionē autē differenter pro suarum uarietate specierum habet.

Copulatiua.

Inter hęc igitur, quæ locutionem atq; orationē connectunt, & hanc ob rem copulatiuæ nominātur. καὶ quidē pponitur dictionibus, τε uero sequitur, inclinara. Dijq; & uiri. Et ita inter se construuntur, ut sequentē τε præcedat καὶ. Cum tamen initialis est καὶ, oportet omnino καὶ alterā καὶ sequi, quæ uel uerbum cōplicet uerbo, uel nomen nomini, quomodocunq; construatur prior. Si enim quis dicat. & deambulat Socrates. inferat necesse est, & disputat, aut tale quid. Si uero, & Socrates scribit dicat, adijciet q; utiq; & Plato, uel alius quispiā. Generaliter ēm quoties præcedit copulatiua, uel disiunctiua, similē exigit partem uel casualē, uel sine casu. Quod si casualem, eundem casum. Sin expertem casus, eundē modū, at non necessario. ut & scribo, & intelligo. uel scribo, uel intel. & meus seruus, & tuus. Licet aūt in eadē constructione coniungere articulareis rectos cum genitiuis. ut optima Homerica carmina, & Hesiodi. Sed si diuersus sit modus, idē uerbum seruare necesse est. ut & scribo, & scriberē. & dicebas & dic. Quāuis eodē manente, diuersa ponātur uerba. & deābulo, & disputo. Itaq; casus eosdē postulāt & copulatiuæ, & disiunctiuæ tam pcedentes, q̄ etiā in medio positæ, quoties ad idem referūtur uerbū. ut & ego, & tu scribimus, uel mihi uel tibi parcit. Sed qdē dictionē nō pcedit, nisi statim in principio dictionis. δὲ uero cōiunc. (q̄ subiunctiua est, & orōis, & dictionū) ad μὲν sequi solet. Alij quidē dij dormiebāt tota nocte, Ioue aūt nō tenebat dulcis somnus. Est aūt & transitiua, siue digressiua tanq̄ per ipsam fiant & in sententia, & in narratione digressiones.

Porrò

καὶ. *τε.* *Iliad. β.* *δὲ.* *μὲν.* *Iliad. β.*

ΠΕΡΙ ΣΥΝΔΕΣΜΟΥ.


Δὲ σύνδεσμος λέξις συνδετικὴ οὖσα τῶν ἑτέρων τοῦ λόγου μερῶν, εἰς κατάλληλον σύνθεσίν τε, καὶ τάξιν τὰ ὅμοια συνάπτει ἀεί. ὄνομα γὰρ ὀνόματι, καὶ ῥῆμα ῥήματι, καὶ εὐθεῖαν εὐθείᾳ, καὶ ὅλως πτῶσιν ὁμοίᾳ πτώσει, καὶ χρόνον ὁμοίως, καὶ ἔγκλισιν, καὶ τὰ λοιπὰ δὲ ὁμοίως. σύνταξιν δὲ διαφόρως κατὰ τὴν αὐτοῦ διαφορὰν τῶν εἰδῶν ἔχει.

Συμπλεκτικός.

Τῶν οὖν ἐπὶ πολὺ ἐκφερομένην τὴν ἑρμηνείαν συμπλεκόντων καὶ διὰ τοῦτο συμπλεκτικῶν καλουμένων, ὁ μὲν καὶ προτάσσεται τῶν λέξεων, ὁ δέ τε, ἐπιφέρεται ἐγκλινόμενος. θεοί τε, καὶ ἀνέρες. καὶ οὕτω τοι ἀλλήλοις συντάσσονται, ὥς τε τόν τε προηγεῖσθαι τοῦ καί. ἀρκτικὸς δὲ ὑπάρχων ὁ καί, δεῖ πάντως καὶ ἕτερον καὶ ἐπιφέρεσθαι, ἤτοι ῥῆμα συμπλέκοντα ῥήματι, ἢ ὄνομα ὀνόματι, ὅπως ἔτυχε συντασσόμενος ὁ πρῶτος. εἰ γάρ τις λέγει. καὶ περιπατεῖ Σωκράτης, ἐπιφέροι ἂν ἐξ ἀνάγκης, καὶ διαλέγεται, ἢ τοιοῦτό τι. εἰ δέ, καὶ Σωκράτης γράφει λέγοι, ἐποίσει δήπου, καὶ Πλάτων, ἢ ἄλλος τις. Καθόλου γάρ τοι ἡγούμενος ὁ συμπλεκτικός, ἢ ὁ διαζευκτικός, ὅμοιον ἀπαιτεῖ μέρος, ἤτοι πτωτικόν, ἢ ἄπτωτον. καὶ εἰ μὲν πτωτικόν, τὴν αὐτὴν πτῶσιν. εἰ δὲ ἄπτωτον, τὴν αὐτὴν ἔγκλισιν, ἀλλ' οὐκ ἐξ ἀνάγκης. οἷον καὶ γράφω, καὶ νοῶ. ἢ γράφω, ἢ νοῶ. καὶ ὁ ἐμὸς δοῦλος, καὶ ὁ σός. Καὶ ἔξεστι δὲ ἐπὶ τῆς αὐτῆς συντάξεως συνάπτειν ἀρθρικὰς εὐθείας ταῖς γενικαῖς. οἷον ἄριστα τὰ Ομηρικὰ ἔπη, καὶ τὰ Ησιόδου. Διαφερούσης δὲ τῆς ἐγκλίσεως, τὸ αὐτὸ ῥῆμα φυλάττεσθαί γε ἀνάγκη. οἷον καὶ γράφω, καὶ γράφοιμι. καὶ ἔλεγες, καὶ λέγε. Τῆς αὐτῆς δὲ οὔσης, διάφορα κεῖται τὰ ῥήματα. καὶ περιπατῶ, καὶ διαλέγομαι. καὶ πτώσεις δὲ τὰς αὐτὰς ἀπαιτοῦσιν οἵ τε συμπλεκτικοί, καὶ διαζευκτικοί, ἡγούμενοί τε, καὶ μεταξὺ τιθέμενοι, ἐὰν πρὸς τὸ αὐτὸ ἀναφέρονται ῥῆμα. οἷον καὶ ἐγώ, καὶ σὺ γράφομεν, ἢ ἐμοῦ, ἢ σοῦ φείδεται. Ο δὲ μέν, λέξεων μὲν οὐδαμοῦ ἀρκτικός, λόγου δέ. Ο δέ τοι δὲ ἐπιτακτικὸς ὤν, καὶ λόγου, καὶ λέξεως ἐπακολουθητικός ἐστι τοῦ μέν· ἄλλοι μὲν ῥα θεοὶ Εὗδον παννύχιοι, Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος. τυγχάνει δ' ὁ αὐτὸς καὶ μεταβατικὸς ὤν, ὡς δι' αὐτοῦ γινομένων τῶν περὶ τὸ νόημα καὶ διήγημα μεταβάσεων.

ἀτὰρ. αὐτὰρ. Iliad. α. ἀλλά. Iliad. ι. ἠμὲν. ἠδὲ. Homerica. ἤτοι. Iliad. α.

Porro ἀτὰρ, & αὐτὰρ initiales sunt, quis idē, quod autē significent. At ubi potus, & cibi desideriū exemerunt. Sed nihil mihi hic tale. ἀλλά uero appositiua est. Tydeus paruus quidē erat corpore, at pugnator. Itaq; & coniunctionē quidē sequi & hęc poterit. ἠμὲν uero, & ἠδὲ sunt inchoatiuæ. Verū ἠμὲν orōis quidē, & dictionis. ἠδὲ uero dictionis tantū, illi respōdens. Et quicunq; habitant cœlū, & qcunq; sortiti sunt terrā. q̄q̄ poëticæ & hæ. Qualis sanè & ἤτοι, q̄ initialis orōis & ipsa est. nēpe ille sic fatus, cōsedit.

Disiunctiua.

Cōstruct. et significata τοῦ ἤ. Iliad. β. ἤτοι. Iliad. α. Verba Agamēnonis Iliad. α. Iliad. ι. Iliad. decimooctauo.

Disiunctiuæ uero sunt, quæ disiuncta cōponunt, & uel rē à re, uel personā à persona seiungentes orationē copulant. Nunc tempestiuū aut perire, aut seruari. Vnus autē quispiā uir imperator esto, uel Aiax, uel Idomeneus, uel diuus Vlysses. Itaq; ἤτοι (si idē ualet quod uel) præcedit siue. Siue bonū, siue malū. Cum uero idē qđ quidē, initialis est orationū apud poëtas, ut dictū est. nēpe ille sic fatus. Itaq; cum disiungit, nō sine altero ἤ profert, siue apposito, siue intellecto. Definite aūt, seu declaratiue, sola iacet. Malo ego populū saluum esse, q̄ perire. Significat enim & nō perire. Vnde fortassis & sublatiua proprie uocari poterit. Suo autē iure construitur, & cum dubitatiua est, aut solutiua cum dubitatione. quid aūt populū adduxit huc? an nō propter Helenā comptā. cur itaq; quidam ignorat qđ ἤ significet? an quòd nunq̄ didicit? Illud autē. nēpe admodū iam mortuus Menœtij fortis filius. & alia id ge. aduerbiorū, constructionē habent affirmandi, ut sanè & illud. quatenus fas. perinde ac similitudinis.

Continuatiua.

Iliad. α. Verba Calchantis. Ibidē uerba Nestoris.

Porrò cōtinuatiuæ, hoc est, q̄ pcedentiā quidē nō, sed cōsequentiā aliquā & ordinē mōstrant, copulāt quidē imperfectos sensus. Construunt uero tā recte, q̄ inuerse. Pręcedunt em̄, aut sequunt, & cum præcedunt quidē, recte. Quod si irā ipso die cōcoxerit, in posterū tamē durat, tenetq; odiū, donec ulciscatur. Cum aūt sequunt, pposterè. Certe gaudebit Priamus, Priamiq; filij, cæteriq; Troiani gaudebunt multum animo, si de uobis hæc audierint pugnantibus.

Ὁ δ' ἀτὰρ, καὶ αὐτὰρ ἀρκτικοί. καίτοι τῷ δὴ ἰσοδυναμοῦντες. Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο. αὐτὰρ ἔτι μοι ἐνθάδε τοῖον. Ὁ δ' ἀλλὰ δεῖν ἐπιτακτικός. Τυδεὺς μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής. ὥστ' εἴη ἂν καὶ τοῦ μὲν ἐπακολουθητικὸς δὴ καὶ οὗτος. Ὁ δὲ ἠμὲν καὶ ἠδὲ ἀρκτικοί. ἀλλὰ ὁ μὲν ἠμὲν λόγου, καὶ λέξεως. ὁ δὲ ἠδὲ λέξεως μόνης, τῷ ἠμὲν ἐπακολουθῶν. ἠμὲν ὅσοι ναίουσιν οὐρανὸν, ἠδὲ ὅσοι κληρώσαντο χθόνα. ποιητικοὶ δέ γε οὗτοι. Οἷος δὴ καὶ ὁ ἤτοι, ἀρκτικὸς λόγου, καὶ αὐτὸς ὤν. ἤτοι ὅγ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο.

Διαζευκτικός.

Οἱ δὲ διαζευκτικοὶ, τὰ διεζευγμένα συντιθέασι, καὶ ἢ πρᾶγμα ἀπὸ πράγματος, ἢ πρόσωπον ἀπὸ προσώπου διαζευγνῦντες, τὴν φράσιν ἐπισυνδοῦσιν. νῦν ἄρκιον, ἢ ἀπολέσθαι, ἠὲ σαωθῆναι. εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω, ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ δῖος Ὀδυσσεύς. Ὁ γοῦν ἤτοι ἰσοδυναμῶν τῷ ἢ, προστακτικός ἐστι τοῦ ἤ. ἤτοι ἀγαθὸν, ἢ φαῦλον. ἰσοδυναμῶν δὲ τῷ μὲν ἀρκτικὸς γίνεται λόγων τοῖς ποιηταῖς, ὡς εἴρηται. ἤτοι ὅγ' ὡς εἰπών. διαζευγνύων μὲν τοίνυν ὁ ἢ ἀορίστως, οὐκ ἄνευ ἑτέρου ἢ λέγεται. ἤτοι προσκειμένου, ἢ νοουμένου. ὁρισμένως δὲ, εἴτ' οὖν διασαφητικῶς, μόνος κεῖται. βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι. σημαίνει γὰρ τὸ καὶ οὐκ ἀπολέσθαι. ὅθεν ἴσως καὶ ἀναιρετικὸς ἂν οἰκείως προσαγορεύοιτο. Μοναδικῶς δὲ συντάσσεται, καὶ ἀπορηματικὸς ὤν, ἢ λυτικός τις. ἀπορηματικός. τί δὲ λαὸν ἤγαγεν ἐνθάδε, ἢ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο. Τί δὴ ποτέ τις ἀγνοεῖ τὸ, τοῦ ἢ σημαινόμενον; ἢ ὅτι οὐδεπώποτε ἔμαθεν; Τὸ δὲ ἦ μάλα δὴ τέθνηκε Μενοιτίου Ἄλκιμος υἱὸς, καὶ τὰ ὅμοια, ἐπιῤῥηματικὴν σύνταξιν ἔχει τῶν βεβαιωτικῶν. οἷον δὴ καὶ τὸ, ἦ θέμις. τῶν ὁμοιωματικῶν.

Συναπτικός.

Οἱ δὲ συναπτικοὶ, τουτέστιν οἱ ὕπαρξιν μὲν οὔ, ἀκολουθίαν δέ τινα καὶ τάξιν δηλοῦντες. συνάπτουσι μὲν ἀτελεῖς ἐννοίας. συντάσσονται δὲ κατά τε ὀρθὸν, καὶ ἀντεστραμμένον. ἢ γὰρ προηγοῦνται, ἢ ἐπάγονται. καὶ προηγουμένοις μὲν τὸ ὀρθόν. εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ. ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ. ἐπιφερομένοις δὲ τὸ ἀντεστραμμένον. ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες, ἄλλοι τε Τρῶες μέγα κεν κεχαροίατο θυμῷ εἰ σφῶιν τάδε πάντα πυθοίατο

pugnantibus. Cum subiunctiuo itaque ἂν coniunctio ordinanda est, præsertim si cum &, capiatur, & generaliter si cum alijs coniunctionibus. Item cum optatiuo, & indic. prout inciderit certitudinis, aut ambiguitatis consequentia. Videtur enim, quando certitudinis nota est a, ut indicatiuum, aut subiunctiuum uelle. quando uero ambiguitatis, optatiuum. Unde sane & potentialem ἂν ad idipsum magis proprie reddiderimus. ut si uoluptas ipsum bonum esset, hoc pacto definiri posset felicitas. At non semper sic usus. Siquidem de re præterita indicatiuus semper dicitur. si erat, & si erat.

Subcontinuatiua.

Eodem autem modo & subcontinuatiuæ ordinantur, præterquam quod præcedentiam cum ordine significant & hæ quoque.

Causalis.

γάρ. Cæterum causales & præponuntur dictionibus. præter γὰρ, & recte, & inuerse construuntur. Præterea subiunctiua uerborum constituunt nonnullæ harum. si discam, ut doceam. Et ad-
ἵνα. uerbialiter. postquam docuero, uel quando docuero. ἵνα tamen, & quæ idem ualent, etiam cum optatiuo construuntur, si de re præterita fiat sermo. ut uenit ut spectaret. Et cum imperfecto indicatiui, ubi aliquid de re præterita uolumus subesse aut non. ut oportebat eum accipere syngrapham, ut posset iure
ὅπως. exigere. Verum ὅπως pro quomodo, hortatiue cum futuro indicatiui. Spectate autem hoc, ne uerba quidem faciat. Alio-
ὅτι. qui omni etiam congruit tempori. Cæterum cum indicati. ὅτι con-
Aristopha. struitur. quando nulla merces, neque ars. ἐφῶ item cum indi-
Pluto. catiuo, & infinit. quare scripsit, eo ut accipiat, eo ut me-
ἐφῶ. minerit. Item ἕνεκα cum genitiuo. Nam propterea quod
ἕνεκα. Chrysen contempsit sacerdotem, Ionicum est. Porro γὰρ cuiuis
Iliad. α. parti orationis subiungitur, & initialis nunquam est. nempe enim,
γάρ. neque enim, neque Dryantis filius.
Iliad. ι.

Aduersatiuæ.

Quæ uero dicuntur aduersatiuæ, & præponuntur dictionibus, & postponuntur. Orationi tamen præponi nullo naturali modo possunt. fessus sum admonendo, uerum admonebo adhuc. quanquam festinas, tamen non potui assequi.

Rationatiuæ.

μαρναμένοισιν. Καὶ πρὸς ὑποτακτικὸν μὲν οὖν τὸν εἰ συντακτέον. ἄλλως τε, καὶ εἰ σὺν τῷ καὶ λαμβάνοιτο, καὶ ὅλως μεθ' ἑτέρων συνδέσμων. καὶ πρὸς εὐκτικὸν, καὶ πρὸς ὁριστικὸν, ὡς ἔτυχεν ὁμολογίας, ἢ ἀμφιλογίας ἡ ἀκολούθησις. Ἔοικε γὰρ ἐπὶ μὲν ὁμολογουμένων, τὸ ὁριστικόν τε καὶ ὑποτακτικὸν βούλεσθαι, ἐπὶ δὲ ἐνδιαζαμένων τὸ εὐκτικόν. ὅθεν δὴ καὶ τὸ δυνητικὸν ἂν ἐπὶ τὸ τοιοῦτο οἰκειοτέρως ἂν ἀποδοίημεν. οἷον εἰ ἡδονὴ τἀγαθὸν εἴη, ταύτῃ ἂν ὁρίζοιτο ἡ εὐδαιμονία. ἀλλ' οὐκ ἀεὶ οὕτως ἡ χρῆσις. κατὰ παρῳχημένου γε μὴν πράγματος τὸ ὁριστικὸν ἀεί. εἰ ἦν. εἰ καὶ ἦν.

Παρασυναπτικός.

Παραπλησίως δέ τοι καὶ οἱ παρασυναπτικοὶ συντάσσονται. πλὴν ὅτι καὶ ὕπαρξιν μετὰ τάξεως σημαίνουσιν οὗτοί γε.

Αἰτιολογικός.

Οἱ δ' αἰτιολογικοὶ, προτακτικοί τε εἰσὶ τῶν λέξεων. πλὴν τοῦ γὰρ, καὶ κατ' ὀρθὸν, καὶ ἀντεστραμμένον συντάσσονται. καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων ποιοῦσιν ἔνιοι τούτων. ἐὰν μάθω, ἵνα διδάξω. καὶ ἐπιρρηματικῶς. ἐπειδὰν διδάξω, ἢ ὅταν διδάξω. Ὁ γε μὴν ἵνα, καὶ τὰ ἰσοδυναμοῦντα, καὶ πρὸς εὐκτικὸν ἔτι συντάσσονται, εἰ περὶ παρῳχημένου ὁ λόγος. οἷον ἀφίκετο ἵνα θεῷτο. καὶ πρὸς ὁριστικὸν παρατατικὸν, ἔνθα τι περὶ παρῳχημένου ἀξιοῦμεν ὑπάρχειν, ἢ μή. οἷον, ἐχρῆν αὐτὸν λαβεῖν συγγραφὴν, ἵν' εἶχεν ἀπαιτεῖν κατὰ νόμους. Τὸ γε μὴν ὅπως, ἀντὶ τοῦ πῶς, παραγγελματικῶς πρὸς ὁριστικὸν μέλλοντα. σιωπᾶται δὲ τοῦτο, ὅπως μὴ λόγους ἐροῦσιν. ἄλλως δὲ παντὶ ἐφαρμόττει χρόνῳ. Πρὸς ὁριστικὸν δὲ ὁ ὅτι, καὶ τὰ ἰσοδυναμοῦντα. ὅτι οὐδεὶς μισθὸς, οὐδὲ τέχνη. Τὸ δ' ἐφ' ᾧ πρός τε ὁριστικὸν καὶ πρὸς ἀπαρέμφατον. ἐφ' ᾧ ἔγραψεν, ἐφ' ᾧ κομιοῦται, ἐφ' ᾧ μεμνῆσθαι. Τὸ δὲ ἕνεκα, γενικῆς. Τὸ δὲ, οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα, Ἰωνικόν. Ὁ δὲ γὰρ παντὶ μέρει λόγου ὑποτάσσεται, καὶ ἀρκτικὸς οὐδαμοῦ ἐστιν. ἢ γάρ. οὐδὲ γάρ, οὐδὲ Δρύαντος υἱός.

Ἐναντιωματικοί.

Οἱ δὲ λεγόμενοι ἐναντιωματικοὶ, καὶ προτάσσονται τῶν λέξεων, καὶ ὑποτάσσονται. λόγου μέντοι προτάσσεσθαι οὐδαμοῦ πεφύκασιν. ἔκαμον παραινῶν, ἀλλ' ὅμως παραινέσομαι ἔτι. καίτοι σπεύδων, ὅμως οὐκ ἔσχον καταλαβεῖν.

Rationatiuæ.

ἀλλά. ἀλλαμὴν Inter rationatiuas (ut q̃ illationibus, & conclusionibus ac cõmodantur) ἀλλά, & ἀλλαμὴν præponũtur dictioni tantum. Cæteræ uero omnes prępponi, & postponi possunt. omnis homo animal, atqui omne animal substantia, oĩs igitur homo substantia.

Dubitatiuæ.

ἆρα. ἄρα. Dubitatiuæ aũt dubitanti, & interroganti usu ueniũt. Nunquid igitur bonũ uoluptas? præcedũt aũt dictiones, nisi quid per hyperbaton accidat.

Expletiuæ.

Expletiuæ uero nomen quidẽ inuenerunt ab eo, quod orationẽ cõplent uel carminis, uel ornatus causa. Habẽt γε. δὴ. aũt sæpe & signifi. diuersam. ut γε diminutiua est. δὴ cir- Constructio cũscriptiua, & transitiua, & confirmatiua. ἄν potentialis conium. ἄν. & indefinita. Omnes tñ reliquis orationis partibus subiunguntur. ut reliqui quidẽ dĳ. Præterea ἄν etiã subiungitur indefinite prolata. quæcunq; dixeris, q̃cunq; dixe. Cum uero potẽtialis, in præsenti quidẽ, & in futuro cum optatiuo. ut non dicas, non dicas, uel nõ potes dicere. siue præponatur, siue postponatur. Et cum indicatiuo. nõ potes dicere. uerũ raro id. Cæterũ in præterito cum indicatiuo. nõ dixisses, aut diceres. Item explicatius siquidẽ & antè uerbũ, & post uerbũ poterit consyderari indifferẽter cum optatiuo. Quod nisi utrisq; ponatur locis, cũ subiunctiuo solum. Præterea assumentes infinitiuũ ad indicatiui congruam constructionẽ, dicimus potẽtialiter secundum treis tẽporis differentias. dicere, dixisse, dictum ire. Item cum participio. dicenteis, dicturos, & dicens, & dicentium. Similiter uero & in cæteris. Nequaq̃ tamen præteritũ ἄν recipit. Parteis itaq; ad hunc modum construentes, congruã fecerimus orationem.

DE RECTE ENVNCIANDA distinctione.

Triplex distinguendi ratio. Enunciatio aũt constructorũ, nõ solũ in gestu, & accẽtu, uerum & in distinctione consistit. Ita enim orationis sententia fuerit lucidior. Sunt itaque scribentibus puncta ad distinctionẽ

Συλλογιστικοί.

Τῶν δὲ συλλογιστικῶν, οἷον τῶν ἐπιφορᾶις τε, καὶ συμπεράσμασι προσφωνουμένων, ὃ ἀλλά, ἢ ἀλλαμὴν προτακτικός ἐστι λέξεως μόνως. οἱ δ' ἄλλοι πάντες, καὶ προτάσσεσθαι, καὶ ὑποτάσσεσθαι δύνανται. πᾶς ἄνθρωπος ζῶον, ἀλλαμὴν πᾶν ζῶον οὐσία, πᾶς ἄρα ἄνθρωπος οὐσία.

Απορηματικοί.

Οἱ δὲ ἀποριματικοί, ἐπ' ἀποροῦντι, καὶ ἐρωτῶντι εἰς χρῆσιν ἥκουσιν. ἆρ' οὖν ἀγαθὸν τὸ ἡδύ; προηγοῦνται δὲ τῶν λόγων, εἰ μή τί γε καθ' ὑπερβατόν.

Παραπληρωματικοί.

Οἱ δὲ παραπληρωματικοί, τὸ μὲν ὄνομα ἔσχον, ἀπὸ τοῦ τὴν φράσιν παραπληροῦν, ἢ μέτρου, ἢ κόσμου χάριν. ἔχουσι δὲ πολλάκις, καὶ σημασίαν διάφορον. οἷον ὁ γε μειωτικός. ὁ δὴ περιγραφικός, καὶ μεταβατικός, καὶ βεβαιωτικός. ὁ ἂν δυνητικός, καὶ ἀοριστικός. Πάντες γε μὴν τοῖς ἑτέροις τοῦ λόγου μέρεσιν ὑποτάσσονται. οἷον ἄλλοι μὲν ῥᾶ θεοί. Ο δὲ ἂν καὶ ὑποτάσσει ἀοριστολογικὸς ὤν. ὅσα ἂν λέγῃς, ὅσα ἂν εἴπῃς. Δυνητικὸς δὲ κατὰ μὲν ἐνεστῶτος καὶ μέλλοντος, πρὸς εὐκτικόν. οὐκ ἂν λέγοις, οὐκ ἂν φαίης, οὐκ ἂν λέξοις. εἴτε προτάσσοιτο, εἴτε ἐπιτάσσοιτο. καὶ πρὸς ὁριστικόν. οὐκ ἂν ἐρεῖς. ἀλλὰ σπανίως τοῦτό γε. κατὰ δὲ παρήκοντος πρὸς ὁριστικόν. οὐκ ἂν εἶπες, ἢ ἔλεγες. Ετι δὲ γνωριμώτερον ἂν μὲν καὶ πρὸ τοῦ ῥήματος καὶ μετὰ τὸ ῥῆμα δύνηται ἂν θεωρεῖσθαι ἀδιαφόρως πρὸς εὐκτικόν. ἂν δὲ μὴ ἐπαμφοτερίζῃ τοῖς τόποις, πρὸς ὑποτακτικὸν μόνον. Καὶ μεταλαμβάνοντες τὸ ἀπαρέμφατον πρὸς τὴν τοῦ ὁριστικοῦ κατάλληλον σύνταξιν, λέγομεν δυνητικῶς κατὰ τὰς τρεῖς τοῦ χρόνου διαφοράς. λέγειν ἄν, εἰπεῖν ἄν, καὶ ἐρεῖν ἄν. Καὶ πρὸς μετοχήν. εἰπόντας ἄν, καὶ ἐροῦντας, καὶ εἰπὼν ἄν, καὶ εἰπόντων. ὁμοίως ἂν δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἥκιστα δὲ ὁ παρακείμενος τοῦ ἂν ἐπιδεκτικός. Τὰ μὲν οὖν μέρη οὕτω συντάσσοντες κατ' ἀλλήλων ἂν ποιοῖμεν τὸν λόγον.

ΠΕΡΙ ΤΟΥ ΑΠΑΓΓΕΛΛΕΙΝ ΔΙΑΣΤΟΛΗΣ.

Απαγγέλλειν δὲ τὰ συντεταγμένα, μὴ μόνον καθ' ὑπόκρισίν τε, καὶ προσῳδίαν, ἀλλὰ καὶ κατὰ διαστολήν. οὕτω γὰρ ἂν ἡ τοῦ λόγου διάνοια εἴη συμφανεστέρα. καὶ γράφοντας οὖν τι στικτέον

ad distinctionem obseruāda, & loquētibus distinguendū tripliciter. aut perfecte, aut imperfecte, aut modo medio. Vbi enim quæ ad sententiā spectāt terminata absoluunt, membris distinguēdus in fine sententiæ sermo est, & pluſculo tempore quiescendū, ut reddatur perfectio. Vbi uero imperfecte oīno se habet, intermissa aliquantisper uoce, & q̄ minimo interuallo proferendū. Medio tñ modo, tam quæ membrorū, q̄ quæ totius integra cōmata reddere oportet. ut ego quidē doceo, tu uero discis. Collocandū itaq; punctū scribentib. secundū dictas differentias, ut perfectū q̄dē in medio ponamus. imper. uero deflectam' ad partē imā. Cęterū medium deflectamus ad supremā.

Epilogus. Et quidē de declinatione, formatione, diuisione, nominatione, accentu, orthographia, quātitate, & cōstructione grammaticorum, & in summa de barbarismo, & solœcismo sit iam dictum satis, quantum ad introductionem attinet. Etenim copiosius, & accuratius de his dicere, haud quaquàm huius fuerit instituti. Post hæc autem, quomodo oportet interrogare iuxta propositum à nobis compendium discamus.

FINIS QVARTI LIBRI THEODORI GRAMMATICAE INTRODVCTIONIS.

εἰς διαστολήν, καὶ φθεγγομένους διακριτέον τριχῶς. ἢ γὰρ τελείως, ἢ ἀτελῶς, ἢ μέσως. Ἔνθα μὲν γὰρ τὰ περὶ τὴν ἔννοιαν συναποτελούμενα λήγει, τοῖς κώλοις διαστελτέον ἐπὶ τέλει ἐννοίας τὸν λόγον, καὶ πλεῖόν τι χρόνον ἀποστηματιστέον εἰς ἀπόδοσιν τοῦ τελείου. Ἔνθα δὲ ἀτελῶς πάμπαν ἔχει, ὑπανιέντας τι τῆς φωνῆς καὶ ἐπ' ἐλάχιστον διαστηματίζοντάς γε ἀπαγγελτέον. Μέσως δέ τοι, τὰ κώλων τε, καὶ τοῦ ἐντελοῦς ἀπαρτιστικὰ κόμματα ἀποδοτέον. οἷον ἐγὼ μὲν διδάσκω, σὺ δὲ μανθάνεις. Καὶ στίζειν δὲ γράφοντας κατὰ τὰς εἰρημένας διαφοράς, τὸ μὲν τέλειον ἐφεξῆς ἐν τῷ μέσῳ. τὸ δ' ἀτελὲς παρεκκλίνοντας πρὸς τὸ κάτω. τὸ δὲ μέσον παρεκκλίνοντας πρὸς τὸ ἄνω.

Καὶ περὶ μὲν κλίσεως, καὶ σχηματισμοῦ, καὶ διαιρέσεως, καὶ ὀνομασίας, καὶ προσῳδίας, καὶ ὀρθογραφίας, καὶ χρόνου, καὶ συντάξεως, τῶν γραμματικῶν, καὶ ὅλως περὶ βαρβαρισμοῦ, καὶ σολοικισμοῦ, ἔστω δὴ εἰρημένον ἀποχρώντως, ὡς ἐν εἰσαγωγῇ. Τὸ γὰρ ἐπὶ πλέον, καὶ ἀκριβέστερον περὶ τούτων εἰπεῖν, ἥκιστ' ἂν τῆς παρούσης εἴη προθέσεως. Μετὰ ταῦτα δὲ ὅπως δεῖ ἐρωτηματίζειν κατὰ τὴν ἐκτεθεῖσαν τὴν δὲ ἡμῖν μέθοδον, λέγωμεν.

ΤΕΛΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΗΣ ΘΕΟΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ.

ERRATORVM. Quæ inter castigandũ præ- termissa sunt, horũ correctionem hic subnotauimus.

Folio 5. linea 20. pro τεράρτη, lege τετάρτη.
Folio 6. linea 14. pro μζυικὴ, lege γενικὴ.
Folio 8. linea 26. pro ὑπαραθετικὸν, lege ὑπερθετικὸν.
Folio 9. linea 5. pro εἰς Υς, lege Ις. lin. 7. pro κλητικῶν, lege κτητικῶν.
Folio 11. linea 1. pro ἤκουσα, leg. ἤκουα. & ibidẽ pro ἠκού- σαν, lege ἤκουον. ac pro ἀκοῦμαι, lege ἀκοοῦμαι.
Folio 20. linea 19. pro ἔρομαι, lege ἔσομαι.
Folio 22. linea 28. uersa pagi. pro casualis, le. causalis.
Folio 32. uersa pag. linea ultima, pro uelut in ης, le. εις.
Folio 59. linea 29. pro τὸ ζευγνῦν, lege ζευγνῦν.
Folio 71. linea 36. pro ἐκτείνουσιν. lege ἐκτείνουσιν.
Folio 78. uersa pagina, linea 36. pro audiui qui, lege, audiui, audiui, qui.
Folio 107. uersa pagina. linea 3. pro quidem per κ, le- ge, per υ.
Folio 131. uersa pagina, lin. 2. pro p̃dictia, le. prædictis.
Folio 59. uersa pag. linea 11. ꝓ inclinara, le. inclinata.

Reliqua prudẽs & pius lector facile per se deprehen dere, & corrigere potest.

FOLIORVM SERIES.

A. B. C. D. E. F. G. H. I. K. L. M. N. O. P. Q. R. S. T. V. X. Y. Z. Aa. Bb. Cc. Dd. Ee. Ff. Gg. Hh. Ii. KK. Ll. Mm. Nn. Oo. Pp. Qq. Rr. Ss. omnes ſunt quaterniones, præter Ss quæ eſt ſexternio.

BASILEAE APVD VALENTINVM
CVRIONEM MENSE SEPT.
ANNO DOMINI,
M. D. XXIX.


ALENTINVS CVRIO